BYZANTINE GREEK SERIES · VOLUME 62

The Spiritual Homilies

Pseudo-Macarius

ΟΜΙΛΙΑΙ ΠΝΕΥΜΑΤΙΚΑΙ

The Spiritual Homilies

Part One: Homilies I–XVII

---

with a word-for-word interlinear English translation

preserving the original word order




CANES NOBILES · MMXXVI

Copyright © 2026 Christopher Hench
All rights reserved

Published by Canes Nobiles
canesnobiles.com

The source text is in the public domain



Volume 62 of the Canes Nobiles Byzantine Greek interlinear texts

The Byzantine Greek text follows Pritius' text (Leipzig, 1698 and 1714),
as Migne prints it in the Patrologia Graeca, vol. 34 (Paris, 1860)

Translated and composed with AI, edited by Christopher Hench
Artwork by Esther Steves

The margin gives the edition's chapter number where a chapter begins.

CONTENTS

I · Ezekiel's Chariot 7
II · The Kingdom of Darkness 28
III · The Brothers Who Live Together 36
IV · The Eye of Discernment 43
V · The Christians and the World 79
VI · Prayer in Stillness 116
VII · Questions on Grace 125
VIII · The Measures of Grace 132
IX · God's Purpose and Long Patience 139
X · Love That Cannot Be Filled 152
XI · The Heavenly Fire 158
XII · Adam's Two Losses 178
XIII · A Greater Righteousness 198
XIV · Labor in Hope 199
XV · The Bride and the Palace 207
XVI · Evil Is Not of Our Nature 266
XVII · The Anointed 283

Ezekiel's vision of the cherubim bearing the Lord is read as the mystery of the soul that becomes God's throne: made all light, all eye, and all face, it is driven by Christ the charioteer with the reins of the Spirit. The apostles became the world's light and salt, and a soul without the Spirit's salt rots with worms. Christ the high priest must slay the soul to its old life, and the reader is told to weep and pray until he has this life in truth.

῾Ην ᾿Εζεκιὴλ προφήτης ὀπτασίαν καὶ ὅρασιν ἔνθεον καὶ 1
which Ezekiel (the)-prophet vision and sight divine and
ἔνδοξον θεωρήσας, διηγήσατο· καὶ ἔγραψεν ὀπτασίαν
glorious having-beheld related and wrote (a)-vision
μυστηρίων ἀλαλήτων γέμουσαν. Εἶδε γὰρ ἐν τῷ πεδίῳ
of-mysteries unspeakable full he-saw for in the plain
ἅρμα Χερουβίμ, τέσσαρα ζῶα πνευματικά· ἐν
(a)-chariot of-Cherubim four living-creatures spiritual in
ἑκάστῳ ζώῳ τέσσαρα πρόσωπα, ἔχοντα, τὸ ἓν
each living-creature four faces having the one
πρόσωπον λέοντος, καὶ τὸ ἓν πρόσωπον ἀετοῦ καὶ
face of-a-lion and the one face of-an-eagle and
τὸ ἕτερον μόσχου, καὶ ἄλλο πρόσωπον ἀνθρώπου. Καὶ
the other of-a-calf and another face of-a-man and
πτέρυγες καθ᾽ ἕκαστον πρόσωπον ὡς μὴ ἐννοεῖσθαί τινι
wings at each face so-that not to-be-perceived by-anyone
τὰ ἔμπροσθεν, ἢ ὀπίσθια. Τὰ νῶτα αὐτῶν ὀφθαλμῶν
the(-parts) in-front or behind the backs of-them with-eyes
ἔγεμον· καὶ αἱ κοιλίαι ὁμοίως πεπλήρωνται ὀμμάτων. Καὶ
were-full and the bellies likewise are-filled with-eyes and
οὐκ ἦν τόπος τις, ὃς οὐκ ἔγεμεν ὀφθαλμῶν. Καὶ
not there-was place any which not was-full with-eyes and
τροχοὶ καθ᾽ ἓν πρόσωπον τρεῖς, ὡς ἐν τροχῷ. Καὶ ἐν
wheels at each face three as in (a)-wheel and in

τοῖς τροχοῖς ἦν πνεῦμα, καὶ εἶδεν ὡς ὁμοίωμα ἀνθρώπου,
the wheels was (a)-spirit and he-saw as (a)-likeness of-a-man
καὶ τὰ ὑπὸ τοὺς πόδας αὐτοῦ, ὡς ἔργον σαπφείρου.
and the(-things) under the feet his as (a)-work of-sapphire
Καὶ ἔφερε τὸ ἅρμα τὰ Χερουβίμ, καὶ τὰ ζῶα τὸν
and bore the chariot the Cherubim and the living-creatures the
ἐποχούμενον Δεσπότην. Οὗ ἂν ἐβούλετο πορεύεσθαι,
riding-upon Master wherever — he-wished to-go
κατὰ πρόσωπόν ἐστι. Καὶ εἶδεν ὑποκάτω τῶν Χερουβίμ,
toward (his)-face it-is and he-saw beneath the Cherubim
ὡς χεῖρα ἀνθρώπου ὑποβαστάζουσαν καὶ φέρουσαν.
as (a)-hand of-a-man supporting and carrying
2 Καὶ τοῦτο ὅπερ εἶδεν ὁ προφήτης ἐν ἐκστάσει, ἀληθινὸν ἦν
and this which saw the prophet in ecstasy true was
καὶ βέβαιον. Ὑπεδείκνυτο δέ τι ἕτερον καὶ προετυποῦτο
and sure was-shown and something other and was-prefigured
μυστικὸν καὶ θεϊκὸν πρᾶγμα, μυστήριον ἀποκεκρυμμένον
mystical and divine (a)-thing (a)-mystery hidden
ἀληθῶς ἀπὸ τῶν γενεῶν, ἐπ᾽ ἐσχάτων δὲ τῶν χρόνων
truly from the generations at (the)-last and of-the times
φανερωθὲν ἐπὶ τῆς ἐπιφανείας τοῦ Χριστοῦ. Ψυχῆς γὰρ
made-manifest at the appearing — of-Christ of-(the)-soul for
μυστήριον ἐθεώρει, τῆς μελλούσης δέχεσθαι τὸν ἑαυτῆς
(a)-mystery he-beheld of-the(-one) about to-receive the her-own
Κύριον, καὶ θρόνος δόξης αὐτῷ γενέσθαι. Ψυχὴ γὰρ ἡ
Lord and (a)-throne of-glory for-him to-become (a)-soul for the(-one)
καταξιωθεῖσα κοινωνῆσαι τῷ Πνεύματι τοῦ φωτὸς
having-been-deemed-worthy to-share-in the Spirit of-the light
αὐτοῦ, καὶ καταλαμφθεῖσα ὑπὸ τοῦ κάλλους τῆς ἀῤῥήτου
his and having-been-illumined by the beauty of-the unspeakable
δόξης αὐτοῦ, ἑτοιμάσαντι αὐτὴν ἑαυτῷ εἰς καθέδραν καὶ
glory his having-prepared her for-himself for (a)-seat and

οἰκητήριον, ὅλη φῶς γίνεται, καὶ ὅλη πρόσωπον, καὶ ὅλη
dwelling whole light becomes and whole face and whole
ὀφθαλμός· καὶ οὐδὲν αὐτῆς μέρος μὴ γέμον τῶν πνευματικῶν
eye and no of-her part not full of-the spiritual
ὀφθαλμῶν τοῦ φωτός· τοῦτ᾽ ἔστιν οὐδὲν ἐσκοτισμένον, ἀλλ᾽
eyes of-the light that is nothing darkened but
ὅλη δι᾽ ὅλου φῶς καὶ πνεῦμα ἀπεργασθεῖσα, καὶ ὅλη
whole through whole light and spirit having-been-made and whole
ὀφθαλμῶν γέμουσα, μὴ ἔχουσα δὲ ὕστερόν τι ἢ ὄπισθεν
with-eyes full not having and behind anything or rearward
μέρος, ἀλλὰ πάντη κατὰ πρόσωπον τυγχάνει οὖσα,
part but everywhere toward (the)-face happens being
ἐπιβεβηκότος ἐπ᾽ αὐτὴν καὶ ἐπικαθεσθέντος τοῦ ἀῤῥήτου
having-mounted upon her and having-sat-upon the unspeakable
κάλλους τῆς δόξης τοῦ φωτός, τοῦ Χριστοῦ. Καὶ ὥσπερ
beauty of-the glory of-the light — of-Christ and as
ὁ ἥλιος πάντη ὅμοιός ἐστι, μὴ ἔχων τι μέρος ὕστερον
the sun everywhere like is not having any part behind
ἢ ἐλλεῖπον, ἀλλ᾽ ὅλος ἐξ ὅλου δεδόξασται τῷ φωτί,
or lacking but whole through whole is-glorified with-the light
καὶ ὅλος φῶς ἐστιν, ὁμοιομερὴς τυγχάνων· ἢ ὥσπερ πῦρ,
and whole light is uniform being or as fire
αὐτὸ τὸ φῶς τοῦ πυρός, ὅλον ὅμοιον αὐτῷ ἐστι, καὶ οὐκ
the-very the light of-the fire whole like to-itself is and not
ἔχει ἐν ἑαυτῷ πρῶτον, ἢ ἔσχατον, ἢ μεῖζον, καὶ ἔλαττον·
has in itself first or last or greater and less
οὕτω καὶ ψυχὴ ἡ καταλαμφθεῖσα τελείως ὑπὸ τοῦ
thus also (the)-soul the(-one) having-been-illumined perfectly by the
ἀῤῥήτου κάλλους τῆς δόξης τοῦ φωτὸς τοῦ προσώπου
unspeakable beauty of-the glory of-the light of-the face
τοῦ Χριστοῦ, καὶ κοινωνήσασα Πνεύματι ἁγίῳ τελείως,
— of-Christ and having-shared with-(the)-Spirit holy perfectly

καὶ κατοικητήριον καὶ θρόνος Θεοῦ καταξιωθεῖσα
and (a)-dwelling-place and throne of-God having-been-deemed-worthy
γενέσθαι, ὅλη ὀφθαλμός, καὶ ὅλη φῶς, καὶ ὅλη πρόσωπον,
to-become whole eye and whole light and whole face
καὶ ὅλη δόξα, καὶ ὅλη πνεῦμα γίνεται, οὕτως αὐτὴν
and whole glory and whole spirit becomes thus her
κατασκευάζοντος Χριστοῦ, τοῦ φέροντος καὶ ἄγοντος, καὶ
preparing Christ the(-one) bearing and leading and
βαστάζοντος, καὶ φοροῦντος αὐτήν, καὶ οὕτω εὐτρεπίζοντος,
carrying and wearing her and thus making-ready(-her)
καὶ κατακοσμοῦντος κάλλει πνευματικῷ· καὶ γάρ φησι,
and adorning(-her) with-beauty spiritual and for he-says
Χεὶρ ἀνθρώπου ὑποκάτω ἦν τῶν Χερουβίμ· ὅτι αὐτός
(a)-hand of-a-man beneath was the Cherubim because he-himself
ἐστιν ὁ ἐν αὐτῇ βασταζόμενος, καὶ ὁδηγῶν αὐτήν.
is the(-one) in her being-carried and guiding her
3 Τύπον δὲ ἔφερον τὰ τέσσαρα ζῶα τὰ φέροντα
(a)-type and bore the four living-creatures the(-ones) bearing
τὸ ἅρμα, αὐτῶν τῶν ἡγεμονικῶν λογισμῶν τῆς ψυχῆς.
the chariot of-the-very — ruling thoughts of-the soul
Ὥσπερ γὰρ ὁ ἀετὸς βασιλεύει τῶν ὀρνέων, καὶ ὁ λέων
as for the eagle reigns of-the birds and the lion
τῶν ἀγρίων θηρίων, καὶ ὁ ταῦρος τῶν ἡμέρων ζώων,
of-the wild beasts and the bull of-the tame animals
καὶ ὁ ἄνθρωπος τῶν κτισμάτων· οὕτως εἰσὶ καὶ οἱ
and — man of-the creatures thus are also the
βασιλικώτεροι λογισμοὶ τῆς ψυχῆς· λέγω δέ, τὸ θέλημα,
more-kingly thoughts of-the soul I-mean and the will
ἡ συνείδησις, ὁ νοῦς, ἡ ἀγαπητικὴ δύναμις· δι᾽ αὐτῶν
the conscience the mind the loving power through them
γὰρ τὸ ἅρμα τῆς ψυχῆς κυβερνᾶται, καὶ εἰς τούτους
for the chariot of-the soul is-steered and on these

ἐπαναπαύεται ὁ Θεός. Κατ᾽ ἄλλον δὲ τρόπον, εἰς τὴν
rests — God in another and way of the
ἐπουράνιον Ἐκκλησίαν τὴν τῶν ἁγίων λαμβάνεται. Καὶ
heavenly Church the(-one) of-the saints it-is-taken and
ὥσπερ ἐκεῖ λέγει, ὅτι Τὰ ζῶα ἦν ὑψηλὰ λίαν,
as there he-says that the living-creatures were high very
γέμοντα ὀφθαλμῶν, καὶ οὐκ ἦν δυνατόν τινι καταλαβεῖν
full with-eyes and not was possible for-anyone to-comprehend
τὸν ἀριθμὸν τῶν ὀφθαλμῶν, ἢ τὸ ὕψος, ὅτι οὐκ ἐδόθη
the number of-the eyes or the height because not was-given
τούτων ἡ γνῶσις· καὶ ὥσπερ τὰ ἐν οὐρανῷ ἄστρα,
of-these the knowledge and as the(-things) in heaven stars
τὸ μὲν θεωρεῖν καὶ θαυμάζειν ἐδόθη πᾶσιν ἀνθρώποις,
the indeed to-behold and to-marvel was-given to-all men
τὸ δὲ εἰδέναι τὸν ἀριθμὸν αὐτῶν οὐδενὶ δυνατόν· τὸν
the but to-know the number of-them to-no-one (is)-possible the
αὐτὸν τρόπον ἐπὶ τῆς ἐπουρανίου Ἐκκλησίας τῶν
same way in-the-case-of the heavenly Church of-the
ἁγίων, τὸ μὲν εἰσελθεῖν καὶ ἀπολαύειν εἰς αὐτὴν πᾶσι
saints the indeed to-enter and to-enjoy in it to-all
τοῖς βουλομένοις ἀγωνίσασθαι ἐδόθη· τὸ δὲ ἰδεῖν καὶ
the(-ones) wishing to-strive was-given the but to-see and
καταλαβεῖν τὸν ἀριθμόν, αὐτῷ μόνῳ Θεῷ ἀπονέμεται
to-comprehend the number to-him alone God is-allotted
γινώσκειν. Ἄγεται τοίνυν καὶ φέρεται ὁ ἐποχούμενος
to-know is-led therefore and is-carried the(-one) riding
ὑπὸ τοῦ ἅρματος, καὶ τοῦ θρόνου τῶν ὁλοφθάλμων
by the chariot and the throne of-the all-eyed
ζώων, ἤτοι ὑφ᾽ ἑκάστης ψυχῆς γινομένης αὐτῷ θρόνου
living-creatures that-is by each soul becoming for-him (a)-throne
καὶ καθέδρας, καὶ οὔσης ὀφθαλμοῦ καὶ φωτός, ἐπιβεβηκὼς
and seat and being eye and light having-mounted

αὐτῇ καὶ ἡνιοχῶν ταῖς ἡνίαις τοῦ Πνεύματος, καὶ καθὼς
her and driving with-the reins of-the Spirit and as
ἐπίσταται, ὁδηγῶν αὐτήν. Ὥσπερ γὰρ τὰ ζῶα τὰ
he-knows guiding her as for the living-creatures the
πνευματικά, οὐχ ὅπου ἐβούλοντο πορεύεσθαι ἐπορεύοντο,
spiritual not where they-wished to-go went
ἀλλ' ὅπου ᾔδει καὶ ἤθελεν ὁ ἐπικαθήμενος καὶ
but where knew and willed the(-one) sitting-upon(-them) and
εὐθύνων. Οὕτω καὶ ἐνταῦθα, αὐτὸς ἡνιοχεῖ καὶ ἄγει
directing(-them) thus also here he-himself drives and leads
ὁδηγῶν τῷ Πνεύματι αὐτοῦ· οὕτως καὶ πορεύονται, οὐ
guiding by-the Spirit his thus also they-go not
κατὰ τὸ αὐτῶν θέλημα ὅτε βούλονται ἐν τῷ οὐρανῷ·
according-to the their-own will when they-wish in the heaven
καὶ ἐῤῥιμμένου τοῦ σώματος ἡνιοχεῖ καὶ ἐλαύνει ἐν
and having-been-cast-aside the body he-drives and drives-on in
τοῖς οὐρανοῖς τῷ φρονήματι τὴν ψυχήν· καὶ πάλιν ὅτε
the heavens in-the thought the soul and again when
βούλεται, ἔρχεται ἐν τῷ σώματι καὶ τοῖς λογισμοῖς· ὅτε
he-wishes he-comes in the body and the thoughts when
δὲ βούλεται εἰς τὰ πέρατα τῆς γῆς, καὶ ἀποκαλύψεις
and he-wishes to the ends of-the earth and revelations
μυστηρίων δείκνυσιν αὐτῇ. Ὦ τοῦ καλοῦ καὶ χρηστοῦ,
of-mysteries he-shows to-her O the good and kind
μόνου ἡνιόχου ἀληθινοῦ! Οὕτω δὲ καταξιωθήσονται καὶ
only charioteer true thus and will-be-deemed-worthy also
τὰ σώματα ἐν τῇ ἀναστάσει, τῆς ψυχῆς οὕτω νῦν
the bodies in the resurrection the soul thus now
προδοξαζομένης, καὶ τῷ Πνεύματι ἀνακιρνωμένης.
being-glorified-beforehand and with-the Spirit being-mingled

Ὅτι δὲ οὐράνιον φῶς γίγνονται αἱ ψυχαὶ τῶν δικαίων, 4
that and heavenly light become the souls of-the righteous
αὐτὸς ὁ Κύριος τοῖς ἀποστόλοις ἔλεγεν· Ὑμεῖς ἐστε τὸ
the-very the Lord to-the apostles said you are the
φῶς τοῦ κόσμου. Αὐτὸς γὰρ ἀπεργασάμενος αὐτοὺς φῶς,
light of-the world he-himself for having-made them light
δι᾽ αὐτῶν φωτίζεσθαι τὸν κόσμον προσέταξε· καί, Οὐ
through them to-be-lit the world commanded and not
καίουσι, φησί, λύχνον, καὶ τιθέασιν ὑπὸ τὸν μόδιον, ἀλλ᾽
they-light he-says (a)-lamp and put(-it) under the bushel but
ἐπὶ τὴν λυχνίαν, καὶ λάμπει πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ· οὕτω
on the lampstand and it-shines to-all the(-ones) in the house thus
λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων· ἀντὶ
let-shine the light your before — men instead-of
τοῦ, Μὴ κρύψατε τὸ δόμα ὃ ἐλάβετε παρ᾽ ἐμοῦ,
the(-saying) not hide the gift which you-received from me
ἀλλὰ δότε πᾶσι τοῖς βουλομένοις· καὶ πάλιν· Ὁ λύχνος
but give(-it) to-all the(-ones) wishing and again the lamp
τοῦ σώματος, ἐστὶν ὁ ὀφθαλμός. Ἐὰν ᾖ ὁ ὀφθαλμός σου
of-the body is the eye if be the eye your
φωτεινός, ὅλον τὸ σῶμά σου πεφώτισται· εἰ δὲ ὁ ὀφθαλμός
bright whole the body your is-lit if but the eye
σου πονηρός, ὅλον τὸ σῶμά σου σκοτεινὸν ἔσται. Εἰ οὖν
your (be)-evil whole the body your dark will-be if then
τὸ φῶς τὸ ἐν σοί, σκότος, τὸ σκότος πόσον; Ὥσπερ
the light the(-one) in you (is)-darkness the darkness how-great as
γὰρ τοῦ σώματος οἱ ὀφθαλμοὶ φῶς εἰσι, καὶ ἐπὰν οἱ
for of-the body the eyes light are and whenever the
ὀφθαλμοὶ ὑγιεῖς ὦσιν, ὅλον τὸ σῶμα πεφώτισται· ἐπὰν δὲ
eyes healthy are whole the body is-lit whenever and
παρεμπέσῃ τι καὶ σκοτισθῶσιν, ὅλον τὸ σῶμα σκοτεινόν
fall-in something and they-are-darkened whole the body dark

ἐστιν· οὕτως οἱ ἀπόστολοι, ὀφθαλμοὶ καὶ φῶς ὅλου τοῦ
is thus the apostles eyes and light of-whole the
κόσμου ἐτέθησαν. Ἔλεγεν οὖν αὐτοῖς παραγγέλλων ὁ
world were-appointed said then to-them commanding the
Κύριος· Ἐὰν ὑμεῖς στῆτε, καὶ μὴ παρατραπῆτε, φῶς
Lord if you stand and not are-turned-aside light
ὄντες τοῦ κόσμου, ἰδοὺ ὅλον τὸ σῶμα πεφώτισται τοῦ
being of-the world behold whole the body is-lit of-the
κόσμου. Εἰ δὲ ὑμεῖς οἱ ὄντες φῶς σκοτισθῆτε, τὸ
world if but you the(-ones) being light are-darkened the
σκότος πόσον, ὅ ἐστιν ὁ κόσμος; Φῶς οὖν γενόμενοι οἱ
darkness how-great which is the world light then having-become the
ἀπόστολοι, φῶς διηκόνησαν τοῖς πιστεύσασι, τὰς δὲ
apostles light they-ministered to-the(-ones) having-believed the and
καρδίας αὐτῶν φωτίσαντες τῷ ἐπουρανίῳ τοῦ Πνεύματος
hearts their having-lit with-the heavenly of-the Spirit
φωτί, ᾧπερ καὶ αὐτοὶ πεφωτισμένοι ἐτύγχανον.
light with-which also themselves having-been-lit they-were
5 Καὶ ἅλας αὐτοὶ ὑπάρχοντες ἤρτυον καὶ ἤλιζον πᾶσαν
and salt themselves being they-seasoned and salted every
ψυχὴν πιστεύουσαν τῷ ἅλατι τοῦ ἁγίου Πνεύματος.
soul believing with-the salt of-the holy Spirit
Ἔλεγε γὰρ αὐτοῖς ὁ Κύριος· Ὑμεῖς ἐστε τὸ ἅλας τῆς
said for to-them the Lord you are the salt of-the
γῆς, γῆν τὰς ψυχὰς τῶν ἀνθρώπων καλῶν. Διηκόνησαν
earth earth the souls — of-men calling they-ministered
γὰρ ἐν ταῖς ψυχαῖς τῶν ἀνθρώπων τὸ ἐπουράνιον ἅλας
for in the souls — of-men the heavenly salt
τοῦ Πνεύματος, ἀρτύσαντες αὐτούς, καὶ ἀσήπτους καὶ
of-the Spirit having-seasoned them and incorruptible and
ἀσινεῖς ἀπεργασάμενοι ἐκ πολλῆς δυσωδίας. Ὥσπερ γὰρ
unharmed having-made(-them) out-of much stench as for

κρέας, ἐὰν μὴ ἔχῃ ἅλας, σέσηπται, καὶ πολλῆς δυσωδίας
meat unless — it-has salt has-rotted and with-much stench
μεμέστωται, ὥστε πάντας ἀποστρέφεσθαι ἐκ τῆς κακίστης
is-filled so-that all turn-away from the foulest
ὀσμῆς· καὶ σκώληκες ἕρπουσιν εἰς τὸ σεσηπὸς κρέας, καὶ
smell and worms creep into the rotted meat and
ἐκεῖ ἐννέμονται καὶ ἐσθίουσι καὶ φωλεύουσιν· ἐπὰν δὲ ἔλθῃ
there feed and eat and make-their-dens when but comes
τὸ ἅλας, ἀναιροῦνται καὶ ἀπόλλυνται οἱ ἐκεῖ νεμόμενοι
the salt are-destroyed and perish the(-ones) there feeding
σκώληκες, καὶ ὀσμὴ τῆς δυσωδίας παύεται, (ἡ γὰρ φύσις
worms and (the)-smell of-the stench stops the for nature
τοῦ ἅλατος, ἀναιρετική ἐστι τῶν σκωλήκων, καὶ τῆς
of-the salt destructive is of-the worms and of-the
δυσωδίας ἀφανιστική)· τὸν αὐτὸν τρόπον καὶ πᾶσα ψυχὴ
stench abolishing the same way also every soul
ἡ μὴ ἡλισμένη τῷ ἁγίῳ Πνεύματι, καὶ μὴ μετέχουσα
the(-one) not salted with-the holy Spirit and not partaking
τοῦ ἅλατος τοῦ ἐπουρανίου, τοῦτ' ἔστι τῆς δυνάμεως τοῦ
of-the salt the heavenly that is of-the power —
Θεοῦ, σέσηπται, καὶ δυσωδίας πολλῆς λογισμῶν πονηρῶν
of-God has-rotted and of-stench much of-thoughts evil
ἐμπέπλησται, ὥστε ἀποστρέφεσθαι τὸ πρόσωπον τοῦ Θεοῦ
is-filled so-that is-turned-away the face — of-God
ἀπὸ τῆς δεινῆς δυσωδίας τῶν ματαίων λογισμῶν τοῦ
from the dreadful stench of-the vain thoughts of-the
σκότους, καὶ τῶν παθῶν τῶν ἐν τῇ τοιαύτῃ ψυχῇ
darkness and of-the passions the(-ones) in the such soul
ἐνοικούντων. Καὶ οἱ κακοὶ καὶ δεινοὶ σκώληκες, ἅ ἐστι
dwelling and the evil and dreadful worms which are
τὰ πνεύματα τῆς πονηρίας, καὶ αἱ δυνάμεις τοῦ σκότους,
the spirits of-the wickedness and the powers of-the darkness

ἐν αὐτῇ ἐμπεριπατοῦσι, κἀκεῖ ἐννέμονται, καὶ φωλεύουσι,
in her walk-about and-there feed and make-their-dens
καὶ ἕρπουσι, καὶ αὐτὴν ἐσθίουσι καὶ φθείρουσι. Προσώζεσαν
and creep and her eat and corrupt stank
γάρ, φησί, καὶ ἐσάπησαν οἱ μώλωπές μου. Ἐπὰν δὲ
for he-says and were-corrupt the bruises my when but
προσφύγῃ τῷ Θεῷ, καὶ πιστεύσῃ, καὶ αἰτήσῃ τὸ ἅλας τῆς
she-flees — to-God and believes and asks-for the salt of-the
ζωῆς, τὸ ἀγαθὸν καὶ φιλάνθρωπον Πνεῦμα, τότε ἐλθὸν
life the good and loving-mankind Spirit then having-come
τὸ ἅλας τὸ οὐράνιον ἀναιρεῖ τοὺς δεινοὺς σκώληκας, καὶ
the salt the heavenly destroys the dreadful worms and
ἀφανίζει τὴν πονηρὰν δυσωδίαν, καὶ καθαίρει αὐτὴν τῇ
abolishes the evil stench and cleanses her by-the
ἐνεργείᾳ τῆς δυνάμεως αὐτοῦ· καὶ οὕτως ὑγιὴς καὶ ἀσινὴς
working of-the power his and thus healthy and unharmed
ἀπεργασθεῖσα, ὑπὸ τοῦ ἅλατος τοῦ ἀληθινοῦ, εἰς χρῆσιν
having-been-made by the salt the true for use
καὶ ὑπηρεσίαν τῷ ἐπουρανίῳ Δεσπότῃ ἀποκαθίσταται.
and service to-the heavenly Master she-is-restored
Διὰ τοῦτο γὰρ καὶ ἐν τῷ νόμῳ ὑποδείγματι χρώμενος
because-of this for also in the law with-(an)-example using
ὁ Θεός, ἐκέλευε πᾶσαν θυσίαν ἅλατι ἁλίζεσθαι.
— God commanded every sacrifice with-salt to-be-salted

6 Δεῖ οὖν πρῶτον τυθῆναι ὑπὸ τοῦ ἱερέως, καὶ ἀποθανεῖν,
(one)-must then first to-be-slain by the priest and to-die
καὶ τότε ἁλισθῆναι μελισθέν, εἶθ' οὕτως εἰς τὸ πῦρ
and then to-be-salted having-been-cut-in-pieces then thus on the fire
ἐπιτίθεσθαι. Ἐὰν γὰρ μὴ πρότερον θύσῃ καὶ θανατώσῃ τὸ
to-be-laid if for not first he-slays and puts-to-death the
πρόβατον ὁ ἱερεύς, οὐχ ἁλίζεται, οὔτε εἰς ὁλοκάρπωσιν
sheep the priest not it-is-salted nor for whole-burnt-offering

τῷ Δεσπότῃ προσάγεται. Οὕτω καὶ τὴν ἡμετέραν ψυχὴν
to-the Master is-it-brought thus also the our soul
προσερχομένην τῷ ἀληθινῷ ἀρχιερεῖ Χριστῷ, δεῖ
coming to-the true high-priest Christ (one)-must
τυθῆναι ὑπ᾽ αὐτοῦ, καὶ τῷ φρονήματι ἀποθανεῖν, καὶ τῇ
to-be-slain by him and to-the thought to-die and to-the
κακίστῃ ζωῇ, ᾗ ἔζη, τουτέστι τῇ ἁμαρτίᾳ, καὶ ὥσπερ
most-evil life which it-lived that-is to-the sin and as
ζωὴν ἐξελθεῖν δεῖ ἐξ αὐτῆς, τὴν τῶν παθῶν πονηρίαν.
(a)-life to-go-out (one)-must from her the of-the passions wickedness
Ὥσπερ γὰρ τὸ σῶμα, ἐπὰν ἐξέλθῃ ἡ ψυχή, ἀπέθανε,
as for the body when goes-out the soul has-died
καὶ οὐκέτι ζῇ τῇ ζωῇ ἐν ᾗ ἔζη, οὔτε ἀκούει, οὔτε
and no-longer lives in-the life in which it-lived neither hears nor
περιπατεῖ· οὕτως ἐπὰν θύσῃ καὶ θανατώσῃ τῷ κόσμῳ
walks thus when slays and puts-to-death to-the world
τὴν ζωὴν ὁ ἐπουράνιος ἀρχιερεὺς Χριστὸς τῇ χάριτι τῆς
the life the heavenly high-priest Christ by-the grace of-the
δυνάμεως αὐτοῦ, ἀποθνήσκει τῇ ζωῇ τῆς πονηρίας ᾗ
power his it-dies to-the life of-the wickedness in-which
ἔζη, καὶ οὐκέτι οὔτε ἀκούει, οὔτε λαλεῖ, οὔτε πολιτεύεται
it-lived and no-longer either hears or speaks or conducts-itself
ἐν τῷ σκότει τῆς ἁμαρτίας· ὅτι διὰ τῆς χάριτος
in the darkness of-the sin because through the grace
ἐξέρχεται, ὥσπερ ψυχὴ αὐτῆς, ἡ πονηρία τῶν παθῶν. Καὶ
goes-out as (the)-soul of-her the wickedness of-the passions and
ὁ Ἀπόστολος βοᾷ λέγων· Ἐμοὶ κόσμος ἐσταύρωται, κἀγὼ
the Apostle cries saying to-me (the)-world has-been-crucified and-I
τῷ κόσμῳ. Ψυχὴ γὰρ ἡ ἀκμὴν ζῶσα ἐν τῷ κόσμῳ,
to-the world (a)-soul for the(-one) still living in the world
καὶ τῷ σκότει τῆς ἁμαρτίας, καὶ μὴ θανατωθεῖσα
and in-the darkness of-the sin and not having-been-put-to-death

ἀπ᾽ αὐτοῦ, ἀλλ᾽ ἔτι τὴν ψυχὴν τῆς κακίας, τοῦτ᾽ ἔστι
by it but still the soul of-the vice that is
τὴν ἐνέργειαν τοῦ σκότους τῶν παθῶν τῆς ἁμαρτίας ἐν
the working of-the darkness of-the passions of-the sin in
ἑαυτῇ ἔχουσα, καὶ ὑπ᾽ αὐτῆς ποιμαινομένη, οὐκ ἔστι τοῦ
herself having and by it being-shepherded not is of-the
σώματος τοῦ Χριστοῦ, οὐκ ἔστι τοῦ σώματος τοῦ φωτός·
body — of-Christ not is of-the body of-the light
ἀλλ᾽ ἔστι σῶμα τοῦ σκότους καὶ ἐκ τῆς μερίδος τοῦ
but is (a)-body of-the darkness and from the portion of-the
σκότους ἀκμήν ἐστιν. Ὥσπερ καὶ πάλιν, οἱ ἔχοντες
darkness still is as also again the(-ones) having
τὴν ψυχὴν τοῦ φωτός, τοῦτ᾽ ἔστι τὴν δύναμιν τοῦ ἁγίου
the soul of-the light that is the power of-the holy
Πνεύματος, ἐκ τῆς μερίδος εἰσὶ τοῦ φωτός.
Spirit from the portion are of-the light

7 Ἀλλ᾽ ἐρεῖ τις· Πῶς σῶμα τοῦ σκότους λέγεις τὴν
but will-say someone how (a)-body of-the darkness do-you-call the
ψυχήν, μὴ οὖσαν αὐτοῦ κτίσμα; Ὧδε προσέχων, καὶ
soul not being its creature here attending and
ὀρθῶς νόησον· Ὥσπερ ἔνδυμα ἱμάτιον, ὃ φορεῖς, ἄλλος
rightly understand as (a)-garment (a)-cloak which you-wear another
κατεσκεύασε, καὶ σὺ αὐτὸ ἐνδέδυσαι· ὁμοίως καὶ οἶκον
made and you it have-put-on likewise also (a)-house
ἕτερος ᾠκοδόμησε καὶ ἔκτισε, καὶ σὺ οἰκεῖς ἐν αὐτῷ· τὸν
another built and created and you dwell in it the
αὐτὸν τρόπον καὶ ὁ Ἀδὰμ παραβὰς τὴν ἐντολὴν
same way also — Adam having-transgressed the commandment
τοῦ Θεοῦ, καὶ ἀκούσας τοῦ πονηροῦ ὄφεως, ἐπράθη καὶ
— of-God and having-listened to-the evil serpent was-sold and
ἐπώλησεν ἑαυτὸν τῷ διαβόλῳ· καὶ ἐνεδύσατο τὴν ψυχὴν
sold himself to-the devil and put-on the soul

ὁ πονηρός, τὸ καλὸν κτίσμα, ὃ κατεσκεύασεν ὁ Θεός,
the evil(-one) the beautiful creature which made — God
πρὸς τὴν αὐτοῦ εἰκόνα, ὡς καὶ ὁ Ἀπόστολος λέγει·
after the his-own image as also the Apostle says
Ἀπεκδυσάμενος τὰς ἀρχὰς καὶ ἐξουσίας, ἐθριάμβευσεν
having-stripped-off the principalities and powers he-triumphed-over
αὐτοὺς ἐν τῷ σταυρῷ. Διὰ τοῦτο γὰρ καὶ ἡ ἔλευσις
them in the cross because-of this for also the coming
τοῦ Κυρίου γεγένηται, ἵνα ἐκβάλῃ αὐτούς, καὶ ἀπολάβῃ
of-the Lord has-happened that he-may-cast-out them and may-recover
τὸν ἴδιον οἶκον καὶ ναόν, τὸν ἄνθρωπον. Τούτου τοίνυν
the (his)-own house and temple the man of-this therefore
ἕνεκεν σῶμα λέγεται ἡ ψυχὴ τοῦ σκότους τῆς πονηρίας,
for-the-sake (a)-body is-called the soul of-the darkness of-the wickedness
ἕως οὗ ἐστιν ἐν αὐτῇ τὸ σκότος τῆς ἁμαρτίας, ὅτι ἐκεῖ
until — is in her the darkness of-the sin because there
ζῇ εἰς τὸν αἰῶνα τὸν πονηρὸν τοῦ σκότους, καὶ ἐκεῖ
it-lives in the age the evil of-the darkness and there
κεκράτηται, καθὼς καὶ ὁ Παῦλος, σῶμα ἁμαρτίας, καὶ
it-is-held-fast as also — Paul (a)-body of-sin and
σῶμα θανάτου καλῶν λέγει· Ἵνα καταργηθῇ τὸ σῶμα τῆς
(a)-body of-death calling(-it) says that may-be-abolished the body of-the
ἁμαρτίας. Καὶ πάλιν, Τίς με ῥύσεται ἐκ τοῦ σώματος τοῦ
sin and again who me will-deliver from the body of-the
θανάτου τούτου; Ὁμοίως πάλιν ἡ πιστεύσασα τῷ Θεῷ
death this likewise again the(-one) having-believed — in-God
ψυχὴ καὶ ἐκ τῆς ἁμαρτίας ῥυσθεῖσα, καὶ θανατωθεῖσα ἐκ
soul and from the sin delivered and put-to-death from
τῆς ζωῆς τοῦ σκότους, καὶ τὸ φῶς τοῦ ἁγίου Πνεύματος
the life of-the darkness and the light of-the holy Spirit
ὥσπερ ζωὴν λαβοῦσα, καὶ ἐκεῖθεν ζήσασα, ἐκεῖ λοιπὸν
as (a)-life having-received and from-there having-lived there henceforth

διατρίβει, ὅτι ἐκεῖ κεκράτηται τῷ φωτὶ τῆς θεότητος.
abides because there it-is-held-fast by-the light of-the divinity
Οὔτε γὰρ φύσεως τῆς θεότητός ἐστιν ἡ ψυχή, οὔτε
neither for of-(the)-nature of-the divinity is the soul nor
φύσεως τοῦ σκότους τῆς πονηρίας, ἀλλ' ἔστι κτίσμα
of-(the)-nature of-the darkness of-the wickedness but is creature
τι νοερόν, καὶ ὡραῖον, καὶ μέγα, καὶ θαυμαστόν, καὶ
certain intellectual and lovely and great and wonderful and
καλὸν ὁμοίωμα καὶ εἰκὼν Θεοῦ· καὶ διὰ τὴν παράβασιν
beautiful (a)-likeness and image of-God and because-of the transgression
εἰσῆλθεν εἰς αὐτὴν ἡ πονηρία τῶν παθῶν τοῦ σκότους.
entered into her the wickedness of-the passions of-the darkness
8 Τὸ λοιπόν, ᾧ συγκέκραται, καὶ συνήνωται ἡ ψυχὴ ἐν
for-the rest to-what is-mingled and is-united the soul in
τοῖς θελήμασιν. Ἤτοι οὖν τὸ φῶς τοῦ Θεοῦ ἐν αὐτῇ ἔχουσα,
the wills either then the light — of-God in herself having
καὶ ἐν αὐτῷ ζῶσα ἐν πάσαις ταῖς ἀρεταῖς, τοῦ φωτὸς τῆς
and in it living in all the virtues of-the light of-the
ἀναπαύσεώς ἐστιν· ἤτοι τὸ σκότος τῆς ἁμαρτίας ἔχουσα,
rest she-is or the darkness of-the sin having
τῆς κατακρίσεως τυγχάνει. Ψυχὴν γὰρ τὴν θέλουσαν
of-the condemnation she-is (a)-soul for the(-one) wishing
ζῆσαι παρὰ Θεῷ ἐν ἀναπαύσει καὶ φωτὶ αἰωνίῳ, προσελθεῖν
to-live with God in rest and light eternal to-come
δεῖ, ὡς προείρηται, τῷ ἀληθινῷ ἀρχιερεῖ Χριστῷ, καὶ
(one)-must as has-been-said-before to-the true high-priest Christ and
τυθῆναι καὶ ἀποθανεῖν τῷ κόσμῳ, καὶ τῇ προτέρᾳ ζωῇ
to-be-slain and to-die to-the world and to-the former life
τοῦ σκότους τῆς πονηρίας, καὶ μετατεθῆναι ἐν ἑτέρᾳ ζωῇ
of-the darkness of-the wickedness and to-be-transferred in another life
καὶ ἀνατροφῇ θείᾳ. Ὥσπερ ἐάν τις ἀποθάνῃ ἐν πόλει,
and upbringing divine as if someone dies in (a)-city

οὔτε φωνῆς τῶν ἐκεῖ ἀκούει, οὔτε λαλιᾶς, οὔτε ἤχων,
neither (the)-voice of-the(-ones) there he-hears nor talk nor noises
ἀλλὰ καθάπαξ ἀπέθανε, καὶ μετατίθεται ἐν ἑτέρῳ τόπῳ,
but once-for-all he-has-died and is-transferred in another place
ἔνθα οὐκ εἰσὶ φωναὶ καὶ κραυγαὶ τῆς πόλεως ἐκείνης· οὕτω
where not are voices and cries of-the city that thus
καὶ ἡ ψυχή, ἐπὰν τυθῇ καὶ ἀποθάνῃ, ἐν ᾗ διατρίβει καὶ
also the soul when it-is-slain and dies in which it-abides and
ζῇ πόλει τῆς κακίας τῶν παθῶν, οὐκέτι ἀκούει ἐν ἑαυτῇ
lives (the)-city of-the vice of-the passions no-longer hears in herself
τῆς φωνῆς τῶν διαλογισμῶν τοῦ σκότους· οὐκ ἔτι ἀκούεται
the voice of-the reasonings of-the darkness no longer is-heard
λαλιὰ καὶ κραυγὴ ματαίου διαλογισμοῦ, καὶ ταραχῆς
talk and cry of-vain reasoning and of-turmoil
πνευμάτων σκότους· ἀλλὰ μετατίθεται εἰς πόλιν ἀγαθότητος
of-spirits of-darkness but is-transferred to (a)-city of-goodness
καὶ εἰρήνης μεστήν, εἰς πόλιν φωτὸς θεότητος, κἀκεῖ ζῇ
and peace full to (a)-city of-light of-divinity and-there lives
καὶ ἀκούει, κἀκεῖ πολιτεύεται καὶ λαλεῖ, καὶ διαλογίζεται,
and hears and-there conducts-itself and speaks and reasons
κἀκεῖ ἐργάζεται ἔργα πνευματικὰ καὶ Θεοῦ ἄξια.
and-there works works spiritual and of-God worthy
Παρακαλέσωμεν τοίνυν καὶ ἡμεῖς, τυθῆναι διὰ τῆς 9
let-us-entreat therefore also we to-be-slain through the
δυνάμεως αὐτοῦ, καὶ ἀποθανεῖν τῷ αἰῶνι τῆς πονηρίας
power his and to-die to-the age of-the wickedness
τοῦ σκότους, καὶ ἀναιρεθῆναι ἐν ἡμῖν τὸ πνεῦμα τῆς
of-the darkness and to-be-destroyed in us the spirit of-the
ἁμαρτίας, καὶ ἐνδύσασθαι καὶ λαβεῖν ψυχὴν Πνεύματος
sin and to-put-on and to-receive (a)-soul of-Spirit
οὐρανίου, καὶ μετατεθῆναι ἐκ τῆς κακίας τοῦ σκότους
heavenly and to-be-transferred from the vice of-the darkness

εἰς τὸ φῶς τοῦ Χριστοῦ, καὶ ἀναπαυθῆναι ἐν ζωῇ ὅλους
into the light — of-Christ and to-rest in life whole
αἰῶνας. Ὥσπερ γὰρ ἐν σταδίῳ τὰ ἅρματα τρέχουσι καὶ
ages as for in (a)-stadium the chariots run and
προλαμβάνον ἐμποδίζει καὶ ἐπέχει καὶ κωλύει τὸ ἕτερον,
the(-one)-getting-ahead hinders and checks and prevents the other
τοῦ μὴ προκόψαι, καὶ προλαβεῖν εἰς νῖκος· οὕτως οἱ
from-the not to-advance and to-get-ahead to victory thus the
διαλογισμοὶ τῆς ψυχῆς καὶ τῆς ἁμαρτίας τρέχουσιν ἐν τῷ
reasonings of-the soul and of-the sin run in the
ἀνθρώπῳ· ἐὰν μὲν τύχῃ προλαβεῖν τὸν διαλογισμὸν τῆς
man if indeed it-happens to-get-ahead the reasoning of-the
ἁμαρτίας, ἐμποδίζει καὶ ἀπέχει, καὶ κωλύει τὴν ψυχήν,
sin it-binders and holds-off and prevents the soul
τοῦ μὴ προσεγγίσαι τῷ Θεῷ, καὶ τὸ κατ' αὐτῆς νῖκος
from-the not to-draw-near — to-God and the over it victory
ἄρασθαι· ὅπου δὲ αὐτὸς ὁ Κύριος ἐπιβαίνει καὶ ἡνιοχεῖ
to-carry-off where but the-very the Lord mounts and drives
τὴν ψυχήν, πάντοτε αὐτὸς νικᾷ, ἡνιοχῶν καὶ ὁδηγῶν
the soul always he-himself conquers driving and guiding
ἐπιστημόνως τὸ ἅρμα τῆς ψυχῆς εἰς τὸ οὐράνιον καὶ ἔνθεον
skillfully the chariot of-the soul to the heavenly and divine
φρόνημα διὰ παντός. Οὔτε γὰρ πολεμεῖ πρὸς τὴν κακίαν,
mind through all neither for does-he-fight against the vice
ἀλλ' αὐθέντης καὶ ἐξουσιαστὴς τυγχάνων ἀεί, τὴν νίκην
but master and wielder-of-authority being always the victory
αὐτὸς ἐργάζεται. Ἄγεται τοίνυν τὰ Χερουβὶμ οὐχ ὅπου
he-himself works are-led therefore the Cherubim not where
θέλουσι πορεύεσθαι, ἀλλ' ὅπου ὁ ἐπιβεβηκὼς καὶ ὁ
they-wish to-go but where the(-one) having-mounted and the(-one)
ἡνιοχῶν ὁδηγεῖ, καὶ ὅπου θέλει αὐτός, ἐκεῖ πορεύονται,
driving guides and where wishes he-himself there they-go

καὶ αὐτὰ βαστάζει. Χεὶρ γάρ, φησίν, ἀνθρώπου ὑποκάτω
and them he-carries (a)-hand for he-says of-a-man beneath
αὐτῶν ἦν. Ἄγονται αἱ ἅγιαι ψυχαὶ καὶ ὁδηγοῦνται ὑπὸ
them was are-led the holy souls and are-guided by
τοῦ ἡνιοχοῦντος Πνεύματος τοῦ Χριστοῦ, ὅπου βούλεται,
the driving Spirit — of-Christ where he-wishes
ὅτε βούλεται, ἐν οὐρανίοις λογισμοῖς· ὅτε βούλεται ἐν τῷ
when he-wishes in heavenly thoughts when he-wishes in the
σώματι, ἔνθα βούλεται, ἐκεῖ αὐτῷ διακονοῦσιν. Ὥσπερ γὰρ
body where he-wishes there him they-serve as for
τοῦ πετεινοῦ οἱ πόδες τὰ πτερά εἰσιν· οὕτω τὸ οὐράνιον
of-the bird the feet the wings are thus the heavenly
φῶς τοῦ Πνεύματος ἀναλαμβάνει τὰ πτερὰ τῶν λογισμῶν
light of-the Spirit takes-up the wings of-the thoughts
τῶν ἀξίων ψυχῆς, ὁδηγοῦν καὶ ἡνιοχοῦν ὡς οἶδεν αὐτό.
of-the worthy of-(the)-soul guiding and driving(-them) as knows it
Σὺ τοίνυν ὅταν ἀκούῃς ταῦτα, πρόσχες σεαυτῷ, εἰ 10
you therefore when you-hear these(-things) attend to-yourself if
κέκτησαι ταῦτα ἐν ἔργῳ καὶ ἀληθείᾳ ἐν τῇ ψυχῇ σου·
you-have-acquired these(-things) in deed and truth in the soul your
οὐ γάρ εἰσιν ἁπλῶς λόγοι λαλούμενοι, ἀλλ' ἔργον ἀληθείας
not for are simply words spoken but (a)-work of-truth
ἐστὶν ἐν τῇ ψυχῇ γιγνόμενον. Καὶ εἰ οὐ κέκτησαι, ἀλλὰ
it-is in the soul happening and if not you-have-acquired(-them) but
πτωχεύεις ἐκ τῶν τηλικούτων πνευματικῶν ἀγαθῶν, λύπην
are-poor in the so-great spiritual goods grief
καὶ πένθος καὶ πόνον ἀδιάλειπτον ὀφείλεις ἔχειν· ὡς ἀκμὴν
and mourning and toil unceasing you-ought to-have as still
νεκρὸς ὢν ἀπὸ τῆς βασιλείας, καὶ ὡς τραυματίας, ἀεὶ βόα
dead being from the kingdom and as (one)-wounded always cry
πρὸς τὸν Κύριον, καὶ αἴτει πιστῶς, ἵνα καὶ αὐτὸς ταύτης
to the Lord and ask faithfully that also you-yourself of-this

τῆς ἀληθινῆς ζωῆς καταξιωθῇς. Ὥσπερ γὰρ τὸ σῶμα
the true life may-be-deemed-worthy as for the body
τοῦτο ποιήσας ὁ Θεός, οὐκ ἐκ τῆς αὐτοῦ φύσεως, οὐδὲ
this having-made — God not from the his-own nature nor
ἐκ τοῦ σώματος ἔδωκεν αὐτῷ ἔχειν τὴν ζωήν, τὴν βρῶσιν,
from the body gave to-it to-have the life the food
καὶ τὴν πόσιν, καὶ τὰ ἐνδύματα καὶ τὰ ὑποδήματα, ἀλλὰ
and the drink and the garments and the shoes but
πᾶσαν τὴν οἰκονομίαν τῆς ζωῆς ἔξωθεν ἔδωκεν ἔχειν, αὐτὸ
all the provision of-the life from-outside he-gave to-have it
καθ' ἑαυτὸ τὸ σῶμα γυμνὸν ποιήσας, καὶ χωρὶς τῶν
by itself the body naked having-made(-it) and without the(-things)
ἔξωθεν τοῦ σώματος ὄντων ζῆσαι τὸ σῶμα ἀδύνατον, τοῦτ'
outside of-the body being to-live the body (is)-impossible that
ἔστι, χωρὶς βρώσεως καὶ πόσεως, καὶ ἐνδυμάτων· ἐὰν δὲ
is without food and drink and garments if but
εἰς τὴν ἑαυτοῦ φύσιν μόνον στῇ, μηδὲν τῶν ἔξωθεν
in the its-own nature only it-stand nothing of-the(-things) outside
προσλαβόν, διαφθείρεται καὶ ἀπόλλυται· τὸν αὐτὸν τρόπον
having-taken-in it-is-corrupted and perishes the same way
καὶ ψυχὴ ἡ μὴ ἔχουσα φῶς θεῖον, κτισθεῖσα δὲ κατ'
also (the)-soul the(-one) not having light divine having-been-created but after
εἰκόνα Θεοῦ· οὕτως γὰρ αὐτὴν ᾠκονόμησε καὶ εὐδόκησεν
(the)-image of-God thus for her he-ordered and was-pleased
ἔχειν τὴν αἰώνιον ζωήν· οὐκ ἐκ τῆς ἰδίας φύσεως,
(that-she)-have the eternal life not from the own nature
ἀλλ' ἐκ τῆς ἑαυτοῦ θεότητος, ἐκ τοῦ ἰδίου πνεύματος,
but from the his-own divinity from the own spirit
ἐκ τοῦ ἰδίου φωτός, ἔχει βρῶσιν καὶ πόσιν πνευματικήν,
from the own light it-has food and drink spiritual
καὶ ἐνδύματα οὐράνια, ἅ ἐστιν ἡ ὄντως ζωὴ τῆς ψυχῆς.
and garments heavenly which is the truly life of-the soul

Ὥσπερ οὖν τῷ σώματι, καθὼς προείρηται, ἡ ζωὴ οὐκ 11
as then for-the body as has-been-said-before the life not
ἐξ ἑαυτοῦ ἐστιν, ἀλλ᾽ ἔξωθεν αὐτοῦ, τοῦτ᾽ ἔστιν ἀπὸ τῆς
from itself is but from-outside it that is from the
γῆς, καὶ χωρὶς τῶν ἔξωθεν αὐτοῦ ὄντων, ἀδύνατον αὐτῷ
earth and without the(-things) outside it being (is)-impossible for-it
ζῆσαι· οὕτω καὶ ἡ ψυχή, ἐὰν μὴ γεννηθῇ ἀπὸ τοῦ νῦν εἰς
to-live thus also the soul unless — it-be-born from the now into
ἐκείνην τὴν γῆν τῶν ζώντων, κἀκεῖθεν τραφῇ πνευματικῶς
that the land of-the living and-from-there be-fed spiritually
τῷ Κυρίῳ προκόπτουσα, καὶ ἀμφιασθῇ ἐκ τῆς θεότητος
by-the Lord advancing and be-clothed from the divinity
ἀῤῥήτα ἄμφια οὐρανίου κάλλους, χωρὶς ἐκείνης τῆς
(with)-unspeakable robes of-heavenly beauty without that the
τροφῆς ζῆσαι αὐτὴν ἐν ἀπολαύσει καὶ ἀναπαύσει ἀφ᾽
food to-live her in enjoyment and rest of
ἑαυτῆς ἀδύνατον. Ἔχει γὰρ ἡ θεία φύσις καὶ ἄρτον ζωῆς,
herself (is)-impossible has for the divine nature also bread of-life
τὸν εἰπόντα, Ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς· καί, Ὕδωρ
the(-one) having-said I am the bread of-the life and water
ζῶν· καί, Οἶνον εὐφραίνοντα καρδίαν ἀνθρώπου· καί,
living and wine gladdening (the)-heart of-man and
Ἀγαλλιάσεως ἔλαιον, καὶ παμποίκιλον τροφὴν οὐρανίου
of-exultation oil and manifold food of-heavenly
Πνεύματος, καὶ ἐνδύματα φωτὸς οὐράνια ἐκ τοῦ Θεοῦ
Spirit and garments of-light heavenly from — God
τυγχάνοντα. Ἐν τούτοις ἐστὶν ἡ αἰώνιος ζωὴ τῆς ψυχῆς.
being in these is the eternal life of-the soul
Οὐαὶ σώματι, ὁπόταν εἰς τὴν ἑαυτοῦ φύσιν ἑστήκῃ, ὅτι
woe to-(the)-body whenever in the its-own nature it-stands because
διαφθείρεται καὶ ἀποθνήσκει· καὶ οὐαὶ ψυχῇ, εἰ εἰς τὴν
it-is-corrupted and dies and woe to-(the)-soul if in the

ἑαυτῆς φύσιν μόνον ἔστηκε, καὶ εἰς τὰ ἑαυτῆς ἔργα μόνον
its-own nature only it-has-stood and in the its-own works only
πέποιθε, μὴ ἔχουσα θείου Πνεύματος κοινωνίαν, ὅτι
has-trusted not having of-divine Spirit communion because
ἀποθνήσκει ζωῆς αἰωνίου θεότητος μὴ καταξιωθεῖσα.
it-dies of-life eternal of-divinity not having-been-deemed-worthy
Ὥσπερ γὰρ ἐπὶ τῶν ἀσθενούντων, ἐπὰν μηκέτι τὸ
as for in-the-case-of the sick when no-longer the
σῶμα δύνηται λαβεῖν τροφήν, ἀπελπίζουσιν αὐτούς, καὶ
body can to-take food they-despair-of them and
κλαίουσι πάντες γνήσιοι φίλοι, συγγενεῖς καὶ ἀγαπητοί·
weep all true friends kinsmen and beloved
οὕτω κλαίει ὁ Θεὸς καὶ οἱ ἅγιοι ἄγγελοι τὰς ψυχὰς τὰς
thus weeps — God and the holy angels the souls the(-ones)
μὴ τρεφομένας τροφὴν οὐράνιον τοῦ Πνεύματος, καὶ ἐν
not being-fed (the)-food heavenly of-the Spirit and in
ἀφθαρσίᾳ ζησάσας. Ταῦτα δὲ καὶ πάλιν φημί, οὐκ εἰσὶν
incorruption having-lived these(-things) and also again I-say not are
ἁπλῶς λόγοι λαλούμενοι, ἀλλ᾽ ἔργον πνευματικῆς ζωῆς,
simply words spoken but (a)-work of-spiritual life
ἔργον ἀληθείας, εἰς τὴν ἀξίαν καὶ πιστὴν ψυχὴν γιγνόμενον.
(a)-work of-truth in the worthy and faithful soul happening
12 Εἰ τοίνυν ἐγένου θρόνος τοῦ Θεοῦ, καὶ ἐπιβέβηκεν ἐπὶ σὲ
if therefore you-became (a)-throne — of-God and has-mounted upon you
ὁ οὐράνιος ἡνίοχος, καὶ ἐγένετο ἡ ψυχή σου ὅλη ὀφθαλμὸς
the heavenly charioteer and became the soul your whole eye
πνευματικός, καὶ ὅλη φῶς· καὶ εἰ ἐτράφης ἐκείνην τὴν τοῦ
spiritual and whole light and if you-were-fed that the of-the
Πνεύματος τροφήν, καὶ εἰ ἐποτίσθης ἐκ τοῦ ζῶντος
Spirit food and if you-were-given-to-drink from the living
ὕδατος, καὶ εἰ ἐνεδύσω τὰ τοῦ ἀῤῥήτου φωτὸς ἐνδύματα·
water and if you-put-on the of-the unspeakable light garments

εἰ τούτων ἁπάντων ὁ ἔσω σου ἄνθρωπος ἐν πείρᾳ καὶ
if of-these all the inner your man in experience and
πληροφορίᾳ καθέστηκεν, ἰδοὺ ζῇς καὶ τὴν ὄντως αἰώνιον
full-assurance has-been-established behold you-live and the truly eternal
ζωήν, ἀπὸ τοῦ νῦν μετὰ τοῦ Κυρίου ἀναπαυομένης τῆς
life from the now with the Lord resting the
ψυχῆς σου. Ἰδοὺ κέκτησαι καὶ ἔλαβες ταῦτα παρὰ τοῦ
soul your behold you-have-acquired and received these(-things) from the
Κυρίου ἐν ἀληθείᾳ ἵνα ζῇς ζωὴν ἀληθινήν. Εἰ δὲ μηδὲν
Lord in truth that you-may-live life true if but nothing
τούτων σύνοιδας σεαυτῷ, κλαῖε καὶ λυποῦ καὶ ὀδύρου,
of-these you-are-conscious-of in-yourself weep and grieve and lament
ὅτι τοῦ αἰωνίου καὶ πνευματικοῦ πλούτου ἀκμὴν οὐδέπω
because the eternal and spiritual riches still not-yet
τετύχηκας, καὶ τὴν ὄντως ζωὴν ἀκμὴν οὐδέπω ἐδέξω.
you-have-obtained and the truly life still not-yet you-received
Πόνον οὖν ἔχε περὶ τῆς πτωχείας σου, δεόμενος τοῦ
toil then have for the poverty your beseeching the
Κυρίου νυκτὸς καὶ ἡμέρας, ὅτι εἰς τὴν δεινὴν πενίαν τῆς
Lord by-night and by-day because in the dreadful penury of-the
ἁμαρτίας ἕστηκας. Εἴθε δὲ κἂν πόνον τις ἐκέκτητο,
sin you-stand would-that and even toil someone had-acquired
διὰ τὴν ἑαυτοῦ πτωχείαν· τὸ μὴ ὥσπερ κεκορεσμένοι
because-of the his-own poverty the not as sated(-men)
ἐν ἀμεριμνίᾳ διήγομεν, ὅτι ὁ πόνον ἔχων, καὶ
in freedom-from-care we-were-living because the(-one) toil having and
ζητῶν καὶ αἰτῶν τὸν Κύριον ἀδιαλείπτως, ταχέως τεύξεται
seeking and asking the Lord unceasingly quickly will-obtain
τῆς ἀπολυτρώσεως, καὶ τοῦ ἐπουρανίου πλούτου, καθὼς
the redemption and the heavenly riches as
ὁ Κύριος ἔλεγε, περὶ τοῦ ἀδίκου κριτοῦ καὶ τῆς χήρας
the Lord said about the unjust judge and the widow

διεξερχόμενος τὸν λόγον· Πόσῳ μᾶλλον ὁ Θεὸς ποιήσει
going-through the word how-much more — God will-do
τὴν ἐκδίκησιν τῶν βοώντων πρὸς αὐτὸν νυκτὸς καὶ
the vengeance of-the(-ones) crying to him by-night and
ἡμέρας· ναὶ λέγω, ποιήσει τὴν ἐκδίκησιν αὐτῶν ἐν τάχει·
by-day yes I-say he-will-do the vengeance their in speed
ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας. Ἀμήν.
to-whom (be)-the glory and the might for the ages amen

II · THE KINGDOM OF DARKNESS

The prince of darkness has clothed the whole soul in sin as in a purple robe, so that no part of it is free. Sin is mingled with the soul as wind with the sun, and only God can stop that wind or give the soul the dove's wings it lacks. As the prince of darkness clothed the soul in the old man, Christ clothes his own in the garments of light, now hidden in the soul until the resurrection, when they will clothe the body too.

1 Ἡ βασιλεία τοῦ σκότους, ὁ πονηρὸς ἄρχων, αἰχμαλωτεύσας
the kingdom of-the darkness the evil ruler having-taken-captive
τὸν ἄνθρωπον ἀπ' ἀρχῆς, οὕτω περιέθηκε καὶ ἐνέδυσε τὴν
— man from beginning thus clothed and dressed the
ψυχὴν ἐν τῇ ἐξουσίᾳ τοῦ σκότους ὡσανεὶ ἄνθρωπον· Καὶ
soul in the power of-the darkness as-if (a)-man and
ποιήσωσιν αὐτὸν βασιλέα, καὶ ἐνδύσωσιν αὐτὸν ἐνδύματα
they-make him king and dress him (in)-garments
βασιλικά, καὶ ἀπὸ κεφαλῆς ἕως ὀνύχων βασιλικὰ φορῇ.
kingly and from head to nails kingly(-things) he-wear
Οὕτως τὴν ψυχήν, καὶ ὅλην τὴν ὑπόστασιν αὐτῆς ἐνέδυσε
thus the soul and whole the substance her dressed
τὴν ἁμαρτίαν ὁ ἄρχων ὁ πονηρός, καὶ ὅλην ἐμίανε, καὶ
(in)-the sin the ruler the evil(-one) and whole defiled and

ὅλην ἠχμαλώτευσεν εἰς τὴν βασιλείαν αὐτοῦ, καὶ οὐκ ἀφῆκεν
whole took-captive into the kingdom his and not he-left
οὔτε ἓν μέλος αὐτῆς ἐλεύθερον ἀπ᾽ αὐτοῦ, οὐ λογισμούς, οὐ
not-even one member her free from him not thoughts not
νοῦν, οὐ σῶμα, ἀλλ᾽ ἐνέδυσεν αὐτὴν πορφυρίδα τοῦ σκότους.
mind not body but he-clothed her (in)-(the)-purple of-the darkness
Ὥσπερ γὰρ τὸ σῶμα οὐχὶ ἓν μέρος, ἢ μέλος, πάσχει, ἀλλ᾽
as for the body not one part or member suffers but
ὅλον ἐξ ὅλου παθητόν ἐστιν· οὕτως καὶ ἡ ψυχὴ ὅλη
whole through whole passible is thus also the soul whole
ἔπαθε τὰ τῆς κακίας πάθη καὶ ἁμαρτίας. Ἐνέδυσεν οὖν τὴν
suffered the of-the vice passions and of-sin clothed then the
ψυχὴν ὅλην, τὸ ἀναγκαῖον τοῦ ἀνθρώπου μέλος καὶ μέρος
soul whole the necessary of-the man member and part
ὁ πονηρὸς τὴν κακίαν αὐτοῦ, τοῦτ᾽ ἔστι, τὴν ἁμαρτίαν,
the evil(-one) (with)-the vice his that is the sin
καὶ οὕτως τὸ σῶμα παθητὸν καὶ φθαρτὸν ἐγένετο.
and thus the body passible and corruptible became
Ὅταν γὰρ λέγῃ ὁ Ἀπόστολος· Ἐκδύσασθε τὸν παλαιὸν 2
when for says the Apostle put-off the old
ἄνθρωπον, τέλειον λέγει, ὀφθαλμοὺς ἔχοντα πρὸς
man (a)-complete(-man) he-means eyes having for
ὀφθαλμούς, κεφαλὴν πρὸς κεφαλήν, ὦτα πρὸς ὦτα, χεῖρας
eyes head for head ears for ears hands
πρὸς χεῖρας, πόδας πρὸς πόδας. Ὅλον γὰρ τὸν ἄνθρωπον
for hands feet for feet whole for the man
ψυχὴν καὶ σῶμα ἐμίανεν ὁ πονηρός, καὶ κατέσπασε, καὶ
soul and body defiled the evil(-one) and dragged-down and
ἐνέδυσε τὸν ἄνθρωπον, παλαιὸν ἄνθρωπον, καὶ μιαρόν,
clothed the man (with)-(an)-old man and foul
ἀκάθαρτον, καὶ θεομάχον, καὶ μὴ ὑποτασσόμενον τῷ νόμῳ
unclean and God-fighting and not subject to-the law

τοῦ Θεοῦ, αὐτὴν τὴν ἁμαρτίαν, ἵνα μηκέτι βλέπῃ, ὡς θέλει
— *of-God the-very the sin that no-longer he-may-see as wishes*
ὁ ἄνθρωπος, ἀλλ᾽ ἵνα πονηρῶς ὁρᾷ, καὶ πονηρῶς ἀκούῃ,
the man but that wickedly he-may-look and wickedly may-hear
καὶ πόδας ἔχῃ σπεύδοντας ἐπὶ κακοποιίαν, καὶ χεῖρας
and feet may-have hastening to evil-doing and hands
ἐργαζομένας ἀνομίαν, καὶ καρδίαν πονηρὰ διαλογιζομένην.
working lawlessness and (a)-heart evil(-things) devising
Παρακαλέσωμεν οὖν καὶ ἡμεῖς τὸν Θεόν, ἵνα ἐκδύσῃ ἡμᾶς
let-us-entreat then also we — God that he-may-strip us
τὸν παλαιὸν ἄνθρωπον, ὅτι αὐτὸς μόνος ἆραι ἀφ᾽ ἡμῶν
(of)-the old man because he alone to-take from us
τὴν ἁμαρτίαν δύναται· ὅτι ἰσχυρότεροι ἡμῶν εἰσιν οἱ
the sin can because stronger than-us are the(-ones)
αἰχμαλωτεύσαντες ἡμᾶς, καὶ κατέχοντες ἐν τῇ βασιλείᾳ
having-taken-captive us and holding(-us) in the kingdom
αὐτῶν. Αὐτὸς δὲ ἐπηγγείλατο τοῦ ῥύσασθαι ἡμᾶς ἐκ τῆς
their he but promised of-the to-deliver us from the
δουλείας ταύτης· ὥσπερ γὰρ ὅταν ᾖλιος ᾖ, καὶ ἄνεμός
slavery this as for when (the)-sun be-(out) and wind
τις πνέῃ, ὁ μὲν ἥλιος ἴδιον σῶμα ἔχει καὶ ἰδίαν φύσιν,
some blow the indeed sun own body has and own nature
ὁμοίως καὶ ὁ ἄνεμος ἰδίαν φύσιν ἔχει καὶ ἴδιον σῶμα· καὶ
likewise also the wind own nature has and own body and
οὐδεὶς δύναται χωρίσαι τὸν ἄνεμον ἀπὸ τοῦ ἡλίου, εἰ μὴ
no-one can to-separate the wind from the sun except —
μόνος ὁ Θεὸς παύσῃ, ἵνα μηκέτι πνέῃ· οὕτω καὶ ἡ ἁμαρτία
alone — God stop(-it) that no-longer it-blow thus also the sin
τῇ ψυχῇ μεμιγμένη ἐστίν, ἐχούσης ἑκάστης ἰδίαν φύσιν.
with-the soul mingled is having each own nature

Ἀδύνατον οὖν ἐστι χωρίσαι τὴν ψυχὴν ἀπὸ τῆς ἁμαρτίας, 3
impossible then it-is to-separate the soul from the sin
ἐὰν μὴ ὁ Θεὸς παύσῃ καὶ στήσῃ τὸν πονηρὸν τοῦτον
unless — — God stop and halt the evil this
ἄνεμον, τὸν ἐνοικοῦντα τῇ ψυχῇ καὶ τῷ σώματι.
wind the(-one) dwelling-in the soul and the body
Καὶ πάλιν, ὥσπερ τις θεωρεῖ πετεινὸν πετόμενον, καὶ
and again as someone beholds (a)-bird flying and
βούλεται καὶ αὐτὸς πτῆναι, μὴ ἔχων δὲ πτερὰ ἀδυνάτως
wishes also himself to-fly not having but wings impossibly
ἔχει πέτασθαι· οὕτω καὶ τῷ ἀνθρώπῳ, τὸ μὲν θέλειν
he-is to-fly thus also to-the man the indeed to-will
παράκειται τοῦ εἶναι καθαρόν, καὶ ἄμωμον, καὶ ἄσπιλον,
is-at-hand of-the to-be pure and blameless and spotless
καὶ μὴ ἔχειν ἐν ἑαυτῷ τὴν κακίαν, ἀλλ᾽ ἀεὶ μετὰ τοῦ
and not to-have in himself the vice but always with —
Θεοῦ εἶναι, τὸ δύνασθαι δὲ οὐκ ἔχει· πετασθῆναι μὲν
God to-be the to-be-able but not he-has to-fly indeed
εἰς τὸν ἀέρα τὸν θεϊκὸν καὶ τὴν ἐλευθερίαν τοῦ ἁγίου
into the air the divine and the freedom of-the holy
Πνεύματος θέλει, ἀλλ᾽ ἐὰν μὴ λάβῃ πτέρυγας, οὐ δύναται.
Spirit he-wishes but unless — he-receive wings not he-can
Παρακαλέσωμεν οὖν τὸν Θεόν, ἵνα δῷ ἡμῖν πτέρυγας
let-us-entreat then — God that he-may-give to-us wings
περιστερᾶς τοῦ ἁγίου Πνεύματος, ἵνα πετασθῶμεν πρὸς
of-a-dove of-the holy Spirit that we-may-fly to
αὐτὸν καὶ καταπαύσωμεν, καὶ ἵνα διαχωρίσῃ καὶ παύσῃ
him and rest and that he-may-separate and stop
ἀπὸ τῆς ψυχῆς καὶ τοῦ σώματος ἡμῶν τὸν πονηρὸν
from the soul and the body our the evil
ἄνεμον, αὐτὴν τὴν ἁμαρτίαν τὴν κατοικοῦσαν ἐν τοῖς
wind the-very the sin the(-one) dwelling in the

μέλεσι τῆς ψυχῆς καὶ τοῦ σώματος ἡμῶν. Αὐτῷ γὰρ μόνῳ
members of-the soul and of-the body our to-him for alone
δυνατὸν τοῦτο ποιῆσαι. Ἴδε γάρ, φησίν, ὁ Ἀμνὸς τοῦ Θεοῦ
(is)-possible this to-do behold for he-says the Lamb — of-God
ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου. Αὐτὸς μόνος
the(-one) taking-away the sin of-the world he alone
τὴν ἐλεημοσύνην ταύτην ἐποίησε τῶν ἀνθρώπων τοῖς
the mercy this did — of-men to-the(-ones)
πιστεύουσιν αὐτῷ, ὅτι λυτροῦται ἀπὸ τῆς ἁμαρτίας,
believing him because he-redeems(-them) from the sin
καὶ τοῖς προσδοκῶσιν ἀεὶ καὶ ἐλπίζουσι, καὶ ζητοῦσιν
and to-the(-ones) waiting always and hoping and seeking
ἀδιαλείπτως, ποιεῖ τὴν σωτηρίαν ταύτην τὴν ἀνεκδιήγητον.
unceasingly he-works the salvation this the indescribable
4 Ὥσπερ ἐν νυκτὶ ζοφερᾷ καὶ μελαίνῃ πνέει ἄνεμός τις
as in night gloomy and black blows wind some
ἄγριος, καὶ πάντα τὰ φυτὰ καὶ τὰ σπέρματα κινεῖ, καὶ
wild and all the plants and the seeds moves and
ἐρευνᾷ, καὶ σείει· οὕτω καὶ ὁ ἄνθρωπος πεσὼν ὑπὸ
searches and shakes thus also — man having-fallen under
τὴν ἐξουσίαν τῆς νυκτὸς τοῦ σκότους, τοῦ διαβόλου, καὶ
the power of-the night of-the darkness of-the devil and
ὢν ἐν νυκτὶ καὶ σκότει, κλονεῖται τῷ δεινῷ ἀνέμῳ τῆς
being in night and darkness is-tossed by-the dreadful wind of-the
ἁμαρτίας πνέοντι, καὶ σείεται, καὶ κινεῖται. Καὶ ἐρευνᾶται
sin blowing and is-shaken and is-moved and is-searched
πᾶσαν τὴν φύσιν, τὴν ψυχήν, τοὺς λογισμοὺς αὐτοῦ καὶ
all the nature the soul the thoughts his and
τὸν νοῦν. Καὶ πάντα σείεται τὰ σωματικὰ μέλη· καὶ οὐδὲν
the mind and all are-shaken the bodily members and nothing
ἐλεύθερον, οὐδὲ ἀπαθὲς μέλος ψυχῆς ἢ σώματός ἐστιν
free nor unaffected member of-soul or body is

ἀπὸ τῆς ἐνοικούσης ἐν ἡμῖν ἁμαρτίας· ὁμοίως ἐστὶν ἡμέρα
from the dwelling in us sin likewise there-is (a)-day
φωτὸς καὶ ἄνεμος θεῖος τοῦ ἁγίου Πνεύματος, πνέων καὶ
of-light and (a)-wind divine of-the holy Spirit blowing and
ἀναψύχων τὰς ψυχάς, τὰς οὔσας ἐν ἡμέρᾳ τοῦ φωτὸς
refreshing the souls the(-ones) being in (the)-day of-the light
τοῦ θεϊκοῦ· καὶ διικνούμενος πᾶσαν τὴν ὑπόστασιν τῆς
the divine and penetrating all the substance of-the
ψυχῆς, καὶ τοὺς λογισμοὺς καὶ πᾶσαν τὴν οὐσίαν, καὶ
soul and the thoughts and all the being and
πάντα τὰ μέλη τοῦ σώματος ἀναψύχων καὶ ἀναπαύων
all the members of-the body refreshing and resting(-them)
ἀναπαύσει θεϊκῇ καὶ ἀλαλήτῳ. Τοῦτο ἔλεγεν ὁ Ἀπόστολος·
with-rest divine and unspeakable this said the Apostle
Ἡμεῖς δὲ οὐκ ἐσμὲν τέκνα νυκτός, οὐδὲ σκότους· πάντες
we but not are children of-night nor of-darkness all
γὰρ ὑμεῖς υἱοὶ φωτός ἐστε, καὶ υἱοὶ ἡμέρας. Καὶ ὥσπερ
for you sons of-light are and sons of-day and as
ἐκεῖ ἐν τῇ πλάνῃ ἄνθρωπον τέλειον ἀπεδύσατο ὁ παλαιὸς
there in the error (the)-man complete put-off the old
ἄνθρωπος, καὶ φορεῖ ἔνδυμα βασιλείας σκότους, ἔνδυμα
man and wears (the)-garment of-(the)-kingdom of-darkness (the)-garment
βλασφημίας, ἀπιστίας, ἀφοβίας, κενοδοξίας, ὑπερηφανίας,
of-blasphemy of-unbelief of-fearlessness of-vainglory of-pride
φιλαργυρίας, ἐπιθυμίας· καὶ τὰ ἄλλα ὁμοίως τῆς βασιλείας
of-avarice of-lust and the other likewise of-the kingdom
τοῦ σκότους φορέματα ῥακώδη καὶ ἀκάθαρτα, καὶ μιαρά·
of-the darkness garments ragged and unclean and foul
οὕτω πάλιν ἐνταῦθα ὅσοι ἀπεδύσαντο τὸν παλαιὸν καὶ
γάρ ἐστιν αὐτῆς ζωὴ καὶ ἀνάπαυσις, ἡ τοῦ ἐπουρανίου
for is her life and rest the of-the heavenly
βασιλέως μυστικὴ καὶ ἄῤῥητος κοινωνία. Εἰ γὰρ σαρκικῆς
king mystical and unspeakable communion if for of-fleshly
κοινωνίας ἀγάπη χωρίζει πατρός, μητρός, ἀδελφῶν, καὶ
communion love separates (from)-father mother brothers and
πάντα ἐξώτερα αὐτῶν γίγνεται ἐν τῷ νῷ· καὶ εἰ ἀγαπᾷ,
all(-things) outer than-them become in the mind and if he-loves
ἐξωτέρως ἀγαπᾷ· τὴν δὲ διάθεσιν αὐτοῦ πᾶσαν εἰς τὴν
outwardly he-loves the and disposition his whole on the
σύνοικον αὐτοῦ κέκτηται· Ἀντὶ τούτου γάρ, φησί,
wife his he-has-acquired in-return-for this for he-says
καταλείψει ἄνθρωπος τὸν πατέρα, καὶ τὴν μητέρα, καὶ
shall-leave (a)-man the father and the mother and
προσκολληθήσεται τῇ γυναικί, καὶ ἔσονται οἱ δύο εἰς
shall-cleave to-the wife and shall-be the two into
σάρκα μίαν. Εἰ οὖν ἡ τῆς σαρκὸς ἀγάπη οὕτω λύει πάσης
flesh one if then the of-the flesh love thus looses from-all
ἀγάπης, πόσῳ μᾶλλον ὅσοι κατηξιώθησαν ἐκείνου
love how-much more as-many-as were-deemed-worthy of-that
τοῦ ἁγίου Πνεύματος τοῦ ἐπουρανίου καὶ ἀγαπητοῦ ἐξ
the holy Spirit the heavenly and beloved in

ἀληθείας κοινωνῆσαι, πάσης ἀγάπης κόσμου λυθήσονται,
truth to-commune from-every love of-(the)-world will-be-loosed
καὶ πάντα περισσὰ αὐτοῖς καταφανήσεται, τῷ νενικῆσθαι
and all(-things) superfluous to-them will-appear by-the to-be-conquered
αὐτοὺς τῷ οὐρανίῳ πόθῳ, καὶ τῇ πτώσει αὐτοῦ
them by-the heavenly longing and by-the falling his
ἡνῶσθαι! Ἐκεῖ γὰρ ἐπιποθοῦσιν, ἐκεῖ λογίζονται, ἐκεῖ
to-have-been-united there for they-long there they-think there
ζῶσιν, ἐκεῖ οἱ λογισμοὶ αὐτῶν περιπατοῦσιν, ἐκεῖ ὁ νοῦς
they-live there the thoughts their walk there the mind
πάντοτε τὴν διατριβὴν ἔχει, νενικημένος τῷ θείῳ καὶ
always the dwelling has having-been-conquered by-the divine and
οὐρανίῳ ἔρωτι, καὶ πόθῳ πνευματικῷ.
heavenly love and longing spiritual

16 Τὸ λοιπόν, ὦ ἀγαπητοὶ ἀδελφοί, τοιούτων ἀγαθῶν
for-the rest O beloved brothers such goods
προκειμένων, καὶ τοσούτων ἐπαγγελιῶν ἡμῖν ὑπὸ τοῦ Κυρίου
being-set-before(-us) and so-many promises to-us by the Lord
ἐπηγγελμένων, πάντα τὰ ἐμπόδια ἀφ' ἑαυτῶν ἀπορρίψωμεν,
promised all the hindrances from ourselves let-us-cast-off
καὶ πᾶσαν ἀγάπην τοῦ κόσμου ἀποστραφῶμεν, καὶ πρὸς
and all love of-the world let-us-turn-away-from and to
ἐκεῖνο μόνον τὸ ἀγαθὸν τῇ ζητήσει, καὶ τῷ πόθῳ
that alone the good in-the seeking and in-the longing
ἑαυτοὺς ἐκδῶμεν, ἵνα δυνηθῶμεν τυχεῖν ἐκείνης τῆς ἀῤῥήτου
ourselves let-us-give-up that we-may-be-able to-obtain that the unspeakable
ἀγάπης τοῦ Πνεύματος, περὶ ἧς ὁ μακάριος Παῦλος
love of-the Spirit about which the blessed Paul
παραινεῖ σπεύδειν ἡμᾶς πρὸς αὐτήν, λέγων· Διώκετε
exhorts to-hasten us toward it saying pursue
τὴν ἀγάπην· ἵνα δυνηθῶμεν ἐκ τῆς σκληρότητος ἡμῶν
the love that we-may-be-able from the hardness our

τῆς ἀλλοιώσεως τῆς δεξιᾶς τοῦ Ὑψίστου καταξιωθῆναι,
of-the change of-the right-hand of-the Most-High to-be-deemed-worthy
καὶ εἰς ἡμερότητα καὶ ἀνάπαυσιν πνευματικὴν ἐλθεῖν,
and to gentleness and rest spiritual to-come
ἔρωτι θείου Πνεύματος τρωθέντες. Ὁ γὰρ Κύριος πολὺ
with-love of-divine Spirit wounded the for Lord much
φιλανθρωπεύεται σπλαγχνιζόμενος, πότε ἐπιστρέψωμεν ὅλαι
shows-love-for-mankind having-compassion when we-may-turn whole
ἐξ ὅλου πρὸς αὐτόν, πάντων τῶν ἐναντίων ἑαυτοὺς
through whole to him from-all the opposing(-things) ourselves
ἐξαίροντες. Εἰ γὰρ καὶ ἡμεῖς διὰ πολλὴν ἀγνωσίαν
removing if for even we because-of much ignorance
καὶ νηπιότητα καὶ πρόληψιν κακίας ἀποστρεφόμεθα τὴν
and childishness and preconception of-vice turn-away-from the
ζωήν, καὶ ἐμπόδια πολλὰ τίθεμεν ἑαυτοῖς, μὴ βουλόμενοι
life and hindrances many set for-ourselves not wishing
ἐξ ἀληθείας μετανοεῖν· ἀλλ᾽ αὐτὸς πολὺ σπλαγχνίζεται ἐφ᾽
in truth to-repent but he much has-compassion on
ἡμᾶς μακροθυμῶν, πότε ἐπιστρέψαντες προσέλθωμεν πρὸς
us being-long-suffering when having-turned we-may-come to
αὐτόν, καὶ τὸν ἔσω ἡμῶν ἄνθρωπον φωτισθῶμεν, ἵνα
him and the inner our man we-may-be-illumined that
μὴ καταισχυνθῶσι τὰ πρόσωπα ἡμῶν ἐν ἡμέρᾳ κρίσεως.
not be-put-to-shame the faces our in (the)-day of-judgment
Εἰ δὲ καὶ δύσκολον ἡμῖν καταφαίνεται διὰ τὴν 17
if and even difficult to-us it-appears because-of the
σκληρὰν τῆς ἀρετῆς ἄσκησιν, μᾶλλον δὲ διὰ τὴν
hard of-the virtue discipline rather but because-of the
ὑπόθεσιν καὶ συμβουλίαν τοῦ ἀντικειμένου, ἰδοὺ αὐτὸς
suggestion and counsel of-the adversary behold he
σπλαγχνίζεται καὶ μακροθυμεῖ ἐκδεχόμενος τὴν ἡμετέραν
has-compassion and is-long-suffering awaiting the our

ἐπιστροφήν, καὶ ἁμαρτανόντων ἡμῶν ἀνέχεται, ἀναμένων
return and sinning us he-bears-with awaiting
τὴν μετάνοιαν ἡμῶν, καὶ πίπτοντας ἡμᾶς οὐκ ἐπαισχύνεται
the repentance our and falling us not he-is-ashamed
πάλιν δέχεσθαι, καθὼς εἶπεν ὁ Προφήτης· Μὴ ὁ
again to-receive as said the Prophet surely-not the(-one)
πίπτων οὐκ ἀνίσταται, ἢ ἀποστρέφων οὐκ ἐπιστρέφει;
falling not does-he-rise or (the)-(one)-turning-away not does-he-return
Μόνον ἡμεῖς διανήψωμεν ἔννοιαν ἀγαθὴν κτησάμενοι, καὶ
only we let-us-be-sober (a)-thought good having-acquired and
ἐπιστρέψωμεν εὐθέως καὶ ὀρθῶς, βοήθειαν παρ᾽ αὐτοῦ
let-us-return immediately and rightly help from him
ἐπιζητοῦντες· καὶ αὐτός ἐστι σῶσαι ἡμᾶς ἕτοιμος· ἐκδέχεται
seeking and he is to-save us ready he-awaits
γὰρ τοῦ θελήματος ἡμῶν τὴν πρὸς αὐτὸν ζέουσαν ὁρμήν,
for of-the will our the toward him boiling impulse
ὅσον ἔχομεν δυνάμεως· καὶ τὴν ἐκ προαιρέσεως ἀγαθὴν
as-much-as we-have of-power and the from (the)-choice good
πίστιν καὶ προθυμίαν, τὴν δὲ κατόρθωσιν πᾶσαν αὐτὸς
faith and eagerness the but accomplishment whole he-himself
ἐν ἡμῖν ἐργάζεται. Σπουδάσωμεν τοίνυν, ἀγαπητοί, ὡς
in us works let-us-be-eager therefore beloved as
τέκνα Θεοῦ, ἀποδυσάμενοι πᾶσαν πρόληψιν καὶ ἀμέλειαν
children of-God having-stripped-off all preconception and negligence
καὶ χαύνωσιν, γενναῖοι καὶ ἕτοιμοι γενέσθαι ἀκολουθεῖν
and slackness noble and ready to-become to-follow
ὀπίσω αὐτοῦ, μὴ ἀναβάλωμεν ἡμέραν ἐξ ἡμέρας ὑπὸ
after him not let-us-put-off day from day by
τῆς κακίας ὑποκλεπτόμενοι· οὐ γὰρ οἴδαμεν, πότε ἡ
the vice being-robbed not for we-know when the
ἀπὸ τῆς σαρκὸς ἡμῶν ἔξοδος γίνεται. Μεγάλαι γὰρ καὶ
from the flesh our departure comes-about great for and

ἄῤῥητοί εἰσιν αἱ τῶν Χριστιανῶν ἐπαγγελίαι, τοσοῦτον,
unspeakable are the of-the Christians promises so-much
ὅτι μιᾶς ψυχῆς πίστιν καὶ πλοῦτον οὐκ ἀναλογεῖ πᾶσα
that of-one soul (the)-faith and wealth not matches all
ἡ δόξα καὶ τὸ κάλλος τοῦ οὐρανοῦ καὶ τῆς γῆς, καὶ
the glory and the beauty of-the heaven and of-the earth and
ἡ λοιπὴ διακόσμησίς τε καὶ ποικιλία, καὶ πλοῦτος καὶ
the remaining adornment both and variety and wealth and
ὡραιότης, καὶ τρυφὴ τῶν ὁρωμένων.
loveliness and luxury of-the(-things) seen
Πῶς τοίνυν οὐ θελήσομεν τοσαύταις προτροπαῖς καὶ 18
how therefore not shall-we-wish with-so-many exhortations and
ἐπαγγελίαις τοῦ Κυρίου, ὅλοι ἐξ ὅλου προσελθεῖν, καὶ
promises of-the Lord whole through whole to-come and
ἐκδότους ἑαυτοὺς αὐτῷ καταστῆσαι, ἀρνησάμενοι, κατὰ
given-up ourselves to-him to-make having-denied according-to
τὸ Εὐαγγέλιον, μετὰ πάντων καὶ τὴν ἑαυτῶν ψυχήν, καὶ
the Gospel with all(-things) also the our-own soul and
μόνον αὐτὸν ἀγαπῆσαι, καὶ σὺν αὐτῷ ἄλλο οὐδέν; Ἀλλ' ἰδοὺ
alone him to-love and with him other nothing but behold
καὶ ταῦτα πάντα, καὶ πόση δόξα ἐδόθη; πόσαι οἰκονομίαι
both these all and how-much glory was-given how-many dispensations
τοῦ Κυρίου ἀπὸ τῶν Πατέρων καὶ προφητῶν γεγόνασι;
of-the Lord from the Fathers and prophets have-come-about
πόσαι ἐπαγγελίαι ἐπηγγέλθησαν; καὶ πόσαι προτροπαί;
how-many promises were-promised and how-many exhortations
πόση εὐσπλαγχνία τοῦ Δεσπότου ἐξ ἀρχῆς ἐφ' ἡμᾶς γέγονεν; ἔσχατον δέ, καὶ διὰ τῆς ἰδίας ἐπιδημίας
how-much compassion of-the Master from (the)-beginning toward us has-come-about last and also through the own sojourn
τὴν ἄῤῥητον χρηστότητα ἐφ' ἡμᾶς διὰ τῆς σταυρώσεως
the unspeakable kindness toward us through the crucifixion

ἐπεδείξατο, ἵνα ἡμᾶς εἰς ζωὴν ἐπιστρέψαντας μετενέγκῃ· καὶ
he-displayed that us to life having-turned he-might-transfer and
ἡμεῖς τῶν θελημάτων ἡμῶν καὶ τῆς ἀγάπης τοῦ κόσμου,
we from-the wills our and the love of-the world
καὶ τῶν προλήψεων καὶ συνηθειῶν κακῶν, οὐκ ἀναχωροῦμεν.
and the preconceptions and habits evil not withdraw
Διό, ὀλιγόπιστοι, ἢ καὶ ἄπιστοι δεικνύμεθα· καὶ ἐπὶ
wherefore of-little-faith or even faithless we-are-shown and in
τούτοις πᾶσιν, ἰδοὺ αὐτὸς χρηστεύεται, ἀοράτως φρουρῶν
these all behold he he-is-kind invisibly guarding
καὶ περιθάλπων, μὴ κατὰ τὰ ἁμαρτήματα παραδιδοὺς
and cherishing not according-to the sins handing-over
ἡμᾶς εἰς τέλος τῇ κακίᾳ, καὶ τῇ τοῦ κόσμου ἀπάτῃ
us to (the)-end to-the vice and to-the of-the world deceit
ἀφιὼν ἡμᾶς ἀπολέσθαι, διὰ πολλὴν χρηστότητα καὶ
letting us to-perish because-of much kindness and
μακροθυμίαν ἀποσκοπῶν, πότε πρὸς αὐτὸν ἐπιστρέψωμεν.
long-suffering watching when to him we-may-turn
19 Ἀλλὰ δέδοικα μή ποτε τὸ τοῦ Ἀποστόλου ῥητὸν πληρωθῇ
but I-fear lest ever the of-the Apostle saying be-fulfilled
εἰς ἡμᾶς τῇ καταφρονητικῇ ἐννοίᾳ συζῶντας, καὶ ταῖς
in us with-the contemptuous thought living-with and by-the
προλήψεσι συναπαγομένους, τὸ λέγον· Ἢ τοῦ πλούτου τῆς
preconceptions carried-away-together the saying or the wealth of-the
χρηστότητος αὐτοῦ καὶ τῆς ἀνοχῆς καὶ τῆς μακροθυμίας
kindness his and of-the forbearance and of-the long-suffering
καταφρονεῖς, ἀγνοῶν ὅτι τὸ χρηστὸν τοῦ Θεοῦ εἰς
do-you-despise not-knowing that the kindness — of-God to
μετάνοιάν σε ἄγει; Εἰ δὲ τῇ μακροθυμίᾳ καὶ τῇ
repentance you leads if and with-the long-suffering and the
χρηστότητι καὶ τῇ ἀνοχῇ αὐτοῦ πλείονα προστίθεμεν
kindness and the forbearance his more we-add

ἁμαρτήματα, καὶ κατακρίσεις μείζους διὰ τῆς ἀμελείας καὶ
sins and condemnations greater through the negligence and
καταφρονήσεως ἡμῶν ἑαυτοῖς πορισόμεθα, πληρωθήσεται
contempt our for-ourselves we-shall-procure will-be-fulfilled
τὸ λόγιον· Κατὰ δὲ τὴν σκληρότητά σου καὶ ἀμετανόητον
the saying according-to and the hardness your and impenitent
καρδίαν, θησαυρίζεις σεαυτῷ ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς,
heart you-store-up for-yourself wrath in (the)-day of-wrath
καὶ ἀποκαλύψεως τῆς δικαιοκρισίας τοῦ Θεοῦ. Πολλῇ
and revelation of-the just-judgment — of-God with-much
γὰρ ἀγαθότητι ἀνεκδιηγήτῳ, καὶ μακροθυμίᾳ ἀνεκφράστῳ
for goodness indescribable and long-suffering inexpressible
κέχρηται ὁ Θεὸς περὶ τὸ γένος τῶν ἀνθρώπων, μόνον εἰ
uses — God toward the race — of-men only if
ἡμεῖς ἀνανήψαι θελήσομεν, καὶ ἐξ ὅλου ἐπιστραφῆναι
we to-become-sober-again shall-wish and through whole to-turn
πρὸς αὐτὸν σπουδάσομεν, ἵνα σωτηρίας τυχεῖν δυνηθῶμεν.
toward him shall-be-eager that of-salvation to-obtain we-may-be-able
Εἰ δὲ βούλει ἐπιγνῶναι τὴν τοῦ Θεοῦ μακροθυμίαν, καὶ 20
if but you-wish to-know the — of-God long-suffering and
τὴν πολλὴν χρηστότητα, ἀπὸ τῶν θεοπνεύστων Γραφῶν
the much kindness from the God-inspired Scriptures
καταμάθωμεν. Ἀπόβλεψον εἰς τὸν Ἰσραήλ, ἐξ ὧν οἱ
let-us-learn look-off to — Israel from whom the
Πατέρες, οἷς αἱ ἐπαγγελίαι ὡρίσθησαν, ἐξ ὧν ὁ
Fathers to-whom the promises were-appointed from whom —
Χριστὸς τὸ κατὰ σάρκα, οἷς αἱ λατρεῖαι καὶ ἡ
Christ the(-part) according-to flesh to-whom the services and the
διαθήκη, πόσα ἥμαρτον; ποσάκις ἐξετράπησαν; καὶ αὐτὸς
covenant how-much they-sinned how-often they-turned-aside and he
οὐκ εἴασεν αὐτοὺς εἰς τέλος, ἀλλὰ πρόσκαιρον χρόνον πρὸς
not let them to (the)-end but for-(a)-season time toward

τὸ συμφέρον αὐτοῖς παιδείαις παρεδίδου, τὸ σκληρὸν
the advantage to-them to-chastisements he-handed-over(-them) the hardness
τῆς καρδίας αὐτῶν διὰ τῆς θλίψεως μαλάξαι βουλόμενος,
of-the heart their through the affliction to-soften wishing
ἐπέστρεφε, παρεκάλει, προφήτας ἀπέστελλε. Καὶ πόσοις
he-turned(-them) he-exhorted prophets he-sent and for-how-many
χρόνοις ἐμακροθύμει ἁμαρτανόντων καὶ προσκοπτόντων
times he-was-long-suffering sinning and stumbling
αὐτῶν; καὶ ἐπιστρέφοντας μετὰ χαρᾶς προσεδέχετο, καὶ
they and returning with joy he-received(-them) and
πάλιν ἐκτρεπομένων αὐτῶν αὐτὸς οὐκ ἀφίστατο, ἀλλὰ
again turning-aside they he not stood-off but
διὰ τῶν προφητῶν εἰς ἐπιστροφὴν αὐτοὺς μετεκαλεῖτο·
through the prophets to return them he-called-back
καὶ πλεονάκις ἐκτραπέντων καὶ ἐπιστρεφομένων ἡδέως
and many-times having-turned-aside and returning gladly
ἀντείχετο, καὶ φιλανθρώπως προσεδέχετο, ἕως οὗ ὕστερον
he-held-on and lovingly received(-them) until — later
ἐν τῷ μεγάλῳ παραπτώματι εὑρέθησαν, χεῖρας ἐπιβαλόντες
in the great trespass they-were-found hands having-laid
ἐπὶ τὸν ἴδιον Δεσπότην, ὃν προσεδόκων διὰ παραδόσεων
on the own Master whom they-awaited through traditions
Πατέρων καὶ προφητῶν ἁγίων λυτρωτὴν καὶ Σωτῆρα,
of-Fathers and prophets holy redeemer and Savior
καὶ βασιλέα, καὶ προφήτην. Ἐλθόντα γὰρ οὐ παρεδέξαντο,
and king and prophet having-come for not they-received(-him)
ἀλλὰ τοὐναντίον πολλὰ αὐτῷ ἐνδειξάμενοι ἀτιμίας
but on-the-contrary many to-him having-shown of-dishonor
ἄξια, ὕστερον σταυρῷ θανάτου ἐτιμωρήσαντο, καὶ
worthy(-things) later with-(the)-cross of-death they-punished(-him) and
ἐν τούτῳ τῷ μεγάλῳ προσκόμματι, καὶ ὑπερβάλλοντι
in this the great stumbling and surpassing

παραπτώματι, αἱ ἁμαρτίαι αὐτῶν ὑπερπληθύνασαι
trespass the sins their having-superabounded
ἀνεπληρώθησαν, καὶ οὕτω λοιπὸν εἰς τέλος ἀφείθησαν,
were-filled-up and thus henceforth to (the)-end they-were-abandoned
τοῦ ἁγίου Πνεύματος ἐκεῖθεν ἀναχωρήσαντος, ὅτε τὸ
the holy Spirit from-there having-withdrawn when the
καταπέτασμα τοῦ ναοῦ ἐσχίσθη. Καὶ οὕτως αὐτῶν ὁ
veil of-the temple was-rent and thus their the
ναὸς ἔθνεσι παραδοθεὶς κατεσκάφη, καὶ ἠρημώθη κατὰ
temple to-nations handed-over was-razed and was-laid-waste according-to
τὴν τοῦ Κυρίου ἀπόφασιν· Οὐ μὴ μείνῃ λίθος ἐπὶ
the of-the Lord sentence not — will-remain stone upon
λίθον ὧδε, ὃς οὐ καταλυθήσεται. Καὶ οὕτως εἰς τέλος
stone here which not will-be-thrown-down and thus to (the)-end
παρεδόθησαν τοῖς ἔθνεσι, καὶ διεσκορπίσθησαν ἐν πάσῃ
they-were-handed-over to-the nations and were-scattered in all
τῇ γῇ ὑπὸ τῶν αἰχμαλωτισάντων αὐτοὺς τότε βασιλέων,
the earth by the having-taken-captive them then kings
μηκέτι εἰς τοὺς ἰδίους ἀνακάμψαι τόπους κελευσθέντες.
no-longer to the own to-return places being-commanded
Οὕτως οὖν καὶ νῦν ἐφ' ἑκάστῳ ἡμῶν χρηστὸς 21
thus then also now toward each of-us kind
ὢν καὶ ἀγαθός, μακροθυμεῖ, ὁρῶν πόσα ἕκαστος
being and good he-is-long-suffering seeing how-much each
προσκόπτει, καὶ ἡσυχάζει ἐκδεχόμενος, πότε διανήψει,
stumbles and keeps-quiet awaiting when he-will-become-sober
καὶ ἀποστραφήσεται τοῦ μηκέτι προσκόπτειν, ἐν πολλῇ
and will-turn-away from-the no-longer to-stumble in much
ἀγάπῃ καὶ χαρᾷ τὸν ἐπιστρέφοντα ἀπὸ τῆς ἁμαρτίας
love and joy the(-one) returning from the sin
δεχόμενος. Οὕτω γάρ φησι· Χαρὰ γίνεται ἐπὶ ἑνὶ ἁμαρτωλῷ
receiving thus for he-says joy happens over one sinner

μετανοοῦντι· καὶ πάλιν· Οὐκ ἔστι θέλημα τοῦ Πατρός μου,
repenting and again not is (the)-will of-the Father my
ἵνα ἀπόληται εἷς τῶν μικρῶν τούτων τῶν ἐλαχίστων.
that should-perish one of-the little(-ones) these the least
Εἰ δέ τις τῆς χρηστότητος καὶ μακροθυμίας τοῦ Θεοῦ
if but someone the kindness and long-suffering — of-God
πολλῆς ἐπικειμένης ἐπ' αὐτῷ, μὴ ἐπεξερχομένου εἰς ἄμυναν
much lying upon him not proceeding to vengeance
τοῖς κατὰ μέρος τῶν ἁμαρτημάτων προσκόμμασιν, εἴτε
for-the by part of-the sins stumblings whether
κρυπτοῖς, εἴτε φανεροῖς, ὁρῶντος καὶ ἡσυχάζοντος ὡς εἰς
hidden or open seeing and keeping-quiet as for
μετάνοιαν ἐκδεχομένου τοῦ Θεοῦ, αὐτὸς εἰς καταφρόνησιν
repentance awaiting — God he-himself to contempt
πολλὴν ἐλθών, ἁμαρτήματα προστίθησιν ἐπὶ ἁμαρτήματα,
much having-come sins adds upon sins
καὶ ῥᾳθυμίαν ἐπὶ ῥᾳθυμίαν συνάπτει, καὶ πρόσκομμα ἐπὶ
and carelessness upon carelessness joins and stumbling upon
πρόσκομμα οἰκοδομεῖ, πληροῖ τοὺς ὅρους τῶν ἁμαρτιῶν,
stumbling builds he-fills the bounds of-the sins
καὶ εἰς τοσοῦτον λοιπὸν πρόσκομμα ἔρχεται, ἐξ οὗ
and to so-great henceforth stumbling comes from which
οὐκέτι δύναται ἀνανεῦσαι, ἀλλὰ συντρίβεται καὶ εἰς τέλος
no-longer can-he to-look-up but is-crushed and to (the)-end
τῷ πονηρῷ παραδοθεὶς ἀπόλλυται.
to-the evil(-one) handed-over perishes

22 Οὕτως ἐπὶ Σοδόμων γέγονε. Πολλὰ γὰρ ἁμαρτάνοντες
thus in-the-case-of Sodom it-happened much for sinning
καὶ οὐκ ἐπιστρέφοντες, ὕστερον οὕτω προσέκοψαν ἐπὶ
and not returning later thus they-stumbled at
τῇ τῶν ἀγγέλων κακῇ βουλῇ, ἀῤῥενοκοιτίαν εἰς αὐτοὺς
the of-the angels evil counsel sodomy on them

ἐργάσασθαι θελήσαντες, ὥστε μηκέτι αὐτοὺς ἔχειν
to-work having-wished so-that no-longer they to-have
μετάνοιαν, ἀλλ᾽ εἰς τέλος ἀπεδοκιμάσθησαν. Ἀνεπλήρωσαν
repentance but to (the)-end they-were-rejected they-filled-up
γὰρ τὸν ὅρον τῶν ἁμαρτιῶν, καὶ ὑπερέβησαν· διὸ
for the bound of-the sins and overstepped(-it) wherefore
καὶ πυρίκαυστοι ὑπὸ τῆς θείας δίκης γεγόνασιν· οὕτως
also burned-with-fire by the divine justice they-became thus
καὶ ἐπὶ Νῶε γέγονε, προσκόπτοντες πολλὰ καὶ μὴ
also in-the-case-of Noah it-happened stumbling much and not
μετανοοῦντες, εἰς τηλικαῦτα ἁμαρτήματα ἔφθασαν, ὥστε
repenting to so-great sins they-came so-that
εἰς τέλος πᾶσαν τὴν γῆν καταφθαρῆναι. Οὕτως καὶ
at (the)-end all the earth to-be-destroyed thus also
ἐπὶ τῶν Αἰγυπτίων πολλὰ προσκοψάντων, καὶ εἰς
in-the-case-of the Egyptians much having-stumbled and against
τὸν λαὸν τοῦ Θεοῦ ἁμαρτησάντων, ἐχρηστεύετο ὁ Θεὸς μὴ
the people — of-God having-sinned was-kind — God not
τοιαύτας αὐτοῖς μάστιγας ἐπιφέρειν, ὥστε εἰς τέλος αὐτοὺς
such on-them scourges to-bring so-as to (the)-end them
διαφθεῖραι· ἀλλ᾽ εἰς παιδείαν, καὶ ἐπιστροφήν, καὶ μετάνοιαν
to-destroy but for discipline and return and repentance
ἔφερεν αὐτοῖς ἐκείνας τὰς μικρὰς πληγὰς τῶν μαστίγων,
he-brought on-them those the small blows of-the scourges
μακροθυμῶν, καὶ εἰς μετάνοιαν αὐτοὺς ἐκδεχόμενος. Οἱ
being-long-suffering and for repentance them awaiting they
δέ, πολλὰ ἁμαρτήσαντες εἰς τὸν λαὸν τοῦ Θεοῦ, καὶ
but much having-sinned against the people — of-God and
ἐπιστρέφοντες, καὶ πάλιν μεταμελόμενοι, καὶ εἰς τὴν
returning and again changing-their-minds and to the
ἀρχαίαν ἀπιστίαν τῆς κακῆς προαιρέσεως καθιστάμενοι,
old unbelief of-the evil choice being-set

καὶ τὸν λαὸν τοῦ Θεοῦ καταπονήσαντες, ὕστερον, ὅτε
and the people — of-God having-oppressed later when
διὰ θαυμασίων πολλῶν ὁ Θεὸς τὸν λαὸν ἐξ Αἰγύπτου
through wonders many — God the people from Egypt
διὰ Μωσέως ἐξέβαλε, μέγα προσέκοψαν, καταδιώξαντες
through Moses led-out greatly they-stumbled having-pursued
ὀπίσω τοῦ λαοῦ τοῦ Θεοῦ. Διὸ καὶ εἰς τέλος ἡ θεία
after the people — of-God wherefore also to (the)-end the divine
δίκη τούτους ἀνήλωσε καὶ διέφθειρε, καὶ ἐν τοῖς ὕδασι
justice them consumed and destroyed and in the waters
κατεπόντισε, μηδὲ τῆς ὁρωμένης ζωῆς ἀξίους κρίνασα.
drowned not-even of-the visible life worthy having-judged(-them)
23 Ὁμοίως ὁ Ἰσραήλ, ὡς προείρηται, πολλὰ προσκόπτων
likewise — Israel as has-been-said-before much stumbling
καὶ ἁμαρτάνων, τοὺς προφήτας τοῦ Θεοῦ ἀποκτείνων,
and sinning the prophets — of-God killing
καὶ ἄλλα πολλὰ κακὰ ποιῶν, ἐπεὶ ὁ Θεὸς ἐμακροθύμει
and other many evils doing since — God was-long-suffering
ἡσυχάζων, καὶ εἰς μετάνοιαν αὐτοὺς ἐκδεχόμενος,
keeping-quiet and for repentance them awaiting
ἔσχατον οὕτω προσέκοψαν, ὅθεν συντριβέντες οὐκέτι
at-last thus they-stumbled whence having-been-crushed no-longer
ἠγέρθησαν. Εἰς τὸ Δεσποτικὸν γὰρ ἀξίωμα τὰς ἑαυτῶν
were-they-raised against the Master's for dignity the their-own
χεῖρας ἐπέβαλον. Διὸ καὶ εἰς τέλος καταλειφθέντες
hands they-laid wherefore also to (the)-end having-been-forsaken
ἀπεβλήθησαν, καὶ ἤρθη ἀπ' αὐτῶν ἡ προφητεία, καὶ
they-were-cast-off and was-taken from them the prophecy and
ἡ ἱερατεία, καὶ ἡ λατρεία, καὶ ἐδόθη τοῖς πιστεύσασιν
the priesthood and the worship and was-given to-the having-believed
ἔθνεσιν, ὥς φησιν ὁ Κύριος· Ἀρθήσεται ἀφ' ὑμῶν ἡ
nations as says the Lord shall-be-taken from you the

βασιλεία, καὶ δοθήσεται ἔθνει ποιοῦντι τοὺς καρποὺς
kingdom and shall-be-given to-(a)-nation producing the fruits
αὐτῆς. Μέχρι γὰρ τότε ἠνείχετο αὐτῶν, καὶ ὁ Θεὸς
its until for then he-bore-with them also — God
ἐμακροθύμει, καὶ οὐκ ἀφίστατο σπλαγχνιζόμενος ἐπ᾽
was-long-suffering and not stood-off having-compassion on
αὐτούς· ὅτι δὲ ἀνεπλήρωσαν τὸν ὅρον τῶν ἁμαρτιῶν, καὶ
them because but they-filled-up the bound of-the sins and
ὑπερεπλεόνασαν, εἰς τὸ Δεσποτικὸν ἀξίωμα τὰς χεῖρας
superabounded against the Master's dignity the hands
αὐτῶν ἐπιβαλόντες, εἰς τέλος ὑπὸ τοῦ Θεοῦ κατελείφθησαν.
their having-laid to (the)-end by — God they-were-forsaken
Ταῦτα δὲ διὰ πλειόνων διεξήλθομεν, ἀγαπητοί, 24
these(-things) and through more we-went-through beloved
ἀπὸ Γραφικῶν ἐννοιῶν συνιστῶντες, τὸ δεῖν ἡμᾶς
from scriptural thoughts establishing the to-be-needful us
ἐπιστρέφειν τάχιον, καὶ σπεύδειν πρὸς τὸν Κύριον
to-return quickly and to-hasten toward the Lord
χρηστευόμενον καὶ ἐκδεχόμενον ἡμᾶς ἀπὸ πάσης πονηρίας
being-kind and awaiting us from all wickedness
καὶ προλήψεως κακῆς τελείως ἀναχωροῦντας, καὶ
and preconception evil perfectly withdrawing and
ἐπιστρέφοντας μετὰ πολλῆς χαρᾶς προσδεχόμενον, ἵνα μὴ
returning with much joy receiving that not
ἐπαυξήσῃ ἡ καταφρόνησις ἡμῶν ἡμέραν ἐξ ἡμέρας, καὶ τὰ
increase the contempt our day from day and the
προσκόμματα τιθέμενα πλεονάσῃ εἰς ἡμᾶς, καὶ διὰ τοῦτο
stumblings laid multiply on us and because-of this
τὴν ὀργὴν τοῦ Θεοῦ ἐπενέγκωμεν ἑαυτοῖς. Σπουδάσωμεν
the wrath — of-God we-bring-upon ourselves let-us-be-eager
τοίνυν ἐπιστραφέντες ἐν ἀληθινῇ καρδίᾳ προσελθεῖν αὐτῷ,
therefore having-turned in true heart to-come to-him

μὴ ἀπελπίζοντες τὴν σωτηρίαν, ὅπερ καὶ αὐτὸ τῆς
not despairing-of the salvation which also itself of-the
κακίας καὶ πανουργίας τυγχάνει, ὑπομνήσει προλαβουσῶν
vice and villainy is by-reminder of-preceding
ἁμαρτιῶν, εἰς ἀπελπισμὸν φερουσῶν τὸν ἄνθρωπον, καὶ εἰς
sins to despair bringing the man and to
χαύνωσιν καὶ ὀλιγωρίαν, καὶ ῥᾳθυμίαν· ἵνα μὴ ἐπιστρέψας
slackness and neglect and carelessness that not having-turned
καὶ προσελθὼν τῷ Κυρίῳ, σωτηρίας τύχῃ, πολλῆς
and having-come to-the Lord salvation be-obtain much
χρηστότητος τοῦ Κυρίου ἐπικειμένης τῷ ἀνθρωπίνῳ γένει.
kindness of-the Lord lying-upon the human race
Εἰ δὲ ὥσπερ δύσκολον ἡμῖν καταφαίνεται, καὶ ἀδύνατον
if but as-it-were difficult to-us it-appears and impossible
ἐκ πολλῶν ἁμαρτημάτων ἐπιστρέψαι, ὡς προειλημμένους,
from many sins to-return as preoccupied
ὅπερ, ὡς προειρήκαμεν, ὑπόθεσις τυγχάνει τῆς κακίας, καὶ
which as we-have-said-before (a)-suggestion is of-the vice and
τῆς σωτηρίας ἡμῶν ἐμπόδιον· μνημονεύσωμεν καὶ ἀπίδωμεν,
of-the salvation our (a)-hindrance let-us-remember and look
πῶς ὁ Κύριος ἐπιδημήσας τῇ ἀγαθότητι αὐτοῦ τυφλοὺς
how the Lord having-sojourned by-the goodness his (the)-blind
ἀναβλέψαι ἐποίησε, παραλυτικοὺς ἐθεράπευσε, πᾶσαν νόσον
to-see-again made (the)-paralytics healed every disease
ἰάσατο, νεκροὺς τοὺς εἰς διαφθορὰν καὶ ἀφανισμὸν ἤδη
cured (the)-dead the(-ones) in corruption and disappearance already
τυγχάνοντας ἀνέστησε, κωφοὺς ἀκοῦσαι πεποίηκε, λεγεῶνα
being raised (the)-deaf to-hear he-made (a)-legion
δαιμόνων ἀπὸ ἑνὸς ἀνθρώπου ἐξέβαλε, καὶ εἰς σωφροσύνην
of-demons from one man he-cast-out and to soundness-of-mind
κατέστησε τὸν εἰς τοσαύτην μανίαν κεχωρηκότα. Πόσῳ
restored the(-one) to such madness having-gone how-much

οὖν μᾶλλον ψυχὴν ἐπιστρέφουσαν πρὸς αὐτόν, καὶ παρ'
then more (a)-soul returning to him and from
αὐτοῦ τὸ ἔλεος ἐπιζητοῦσαν, καὶ δεομένην τῆς αὐτοῦ
him the mercy seeking and begging-for the his
βοηθείας, οὐκ ἐπιστρέψει, καὶ εἰς εὐφροσύνην ἀπαθείας, καὶ
help not he-will-turn and to gladness of-dispassion and
κατάστασιν πάσης ἀρετῆς, καὶ νοὸς ἀνακαινισμὸν ἐνεγκεῖ,
(a)-state of-every virtue and of-mind renewal bring
καὶ μεταβαλεῖ εἰς ὑγιότητα, καὶ ἀνάβλεψιν διανοίας, καὶ
and change to health and recovery-of-sight of-understanding and
λογισμῶν εἰρήνην, ἀπὸ τῆς τυφλώσεως, καὶ κωφώσεως
of-thoughts peace from the blindness and deafness
τῆς ἀπιστίας καὶ ἀγνωσίας, καὶ ἀφοβίας, εἰς σωφρονισμὸν
of-the unbelief and ignorance and fearlessness to chastening
ἀρετῆς καὶ καθαρότητα καρδίας ἐνεγκών! ὁ γὰρ
of-virtue and purity of-heart having-brought the(-one) for
κτίσας τὸ σῶμα, καὶ τὴν ψυχὴν αὐτὸς πεποίηκε. Καὶ
having-created the body also the soul he made and
ὥσπερ ἐπιδημήσας ἐν τῇ γῇ, τοῖς προσερχομένοις καὶ
as having-sojourned on the earth to-the(-ones) coming and
ζητοῦσι τὴν παρ' αὐτοῦ βοήθειαν καὶ ἴασιν, ἀφθόνως τῇ
seeking the from him help and healing ungrudgingly in-the
χρηστότητι αὐτοῦ παρείχετο, καθὼς ἔχρῃζον, ὡς ἀγαθὸς
kindness his he-provided as they-needed as good
καὶ μόνος ἰατρός· οὕτω καὶ ἐπὶ τῶν πνευματικῶν.
and only physician thus also in-the-case-of the spiritual(-things)
Εἰ γὰρ ἐπὶ τὰ λυόμενα καὶ ἀποθνήσκοντα πάλιν σώματα, 26
if for toward the being-dissolved and dying again bodies
οὕτως εὐσπλαγχνίσθη, καὶ ἑκάστῳ ὃ ἐπεζήτει πεποίηκε
thus he-had-compassion and to-each what he-sought did
προθύμως, καὶ χρηστῶς, πόσῳ μᾶλλον τῇ ἀθανάτῳ
eagerly and kindly how-much more to-the immortal

ψυχῇ καὶ ἀδιαλύτῳ καὶ ἀφθάρτῳ τυγχανούσῃ ἐν νόσῳ
soul and indissoluble and incorruptible being in (a)-disease
ἀγνοίας, τῆς κακίας, ἀπιστίας τε καὶ ἀφοβίας, καὶ τῶν
of-ignorance of-the vice of-unbelief both and fearlessness and the
λοιπῶν τῆς ἁμαρτίας παθῶν· προσερχομένῃ δὲ τῷ Κυρίῳ,
other of-the sin passions coming but to-the Lord
καὶ τὴν παρ᾽ αὐτοῦ βοήθειαν ἐπιζητούσῃ, καὶ εἰς τὸ αὐτοῦ
and the from him help seeking and to the his
ἔλεος ἐπισκοπούσῃ, καὶ τὴν χάριν τοῦ Πνεύματος παρ᾽
mercy looking and the grace of-the Spirit from
αὐτοῦ δέξασθαι ἐπιθυμούσῃ εἰς λύτρωσιν καὶ σωτηρίαν
him to-receive desiring for redemption and salvation
αὐτῆς, καὶ πάσης κακίας καὶ παντὸς πάθους ἀπαλλαγήν,
her and of-every vice and of-every passion riddance
οὐ δωρήσεται τάχιον καὶ ἑτοιμοτέρως τὴν ἀπολύτρωσιν
not he-will-bestow more-quickly and more-readily the redemption
τῆς ἰάσεως, κατὰ τὸν αὐτὸν λόγον· Πόσῳ μᾶλλον ὁ
of-the healing according-to the same word how-much more the
οὐράνιος Πατὴρ ποιήσει τὴν ἐκδίκησιν τῶν βοώντων
heavenly Father will-do the vengeance of-the(-ones) crying
πρὸς αὐτὸν ἡμέρας τε καὶ νυκτός; καὶ ἐπάγει λέγων, Καὶ
to him by-day both and by-night and he-adds saying and
λέγω ὑμῖν, ποιήσει τὴν ἐκδίκησιν αὐτῶν ἐν τάχει· καὶ πάλιν
I-say to-you he-will-do the vengeance their in speed and again
ἐν ἑτέρῳ παραινεῖ· Αἰτεῖτε καὶ δοθήσεται ὑμῖν· πᾶς
in another(-place) he-exhorts ask and it-shall-be-given to-you every(-one)
γὰρ ὁ αἰτῶν λαμβάνει, καὶ ὁ ζητῶν εὑρίσκει, καὶ
for the(-one) asking receives and the(-one) seeking finds and
τῷ κρούοντι ἀνοιγήσεται· καὶ διεξελθὼν ἐπιφέρει,
to-the(-one) knocking it-shall-be-opened and having-gone-through he-adds
Πόσῳ μᾶλλον ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος δώσει Πνεῦμα
how-much more the Father your the heavenly will-give (the)-Spirit

ἅγιον τοῖς αἰτοῦσιν αὐτόν! Ἀμὴν λέγω ὑμῖν, εἰ καὶ
holy to-the(-ones) asking him amen I-say to-you if even
διὰ τὸ εἶναι φίλον αὐτοῦ μὴ δώσει αὐτῷ, διά γε
because-of the to-be friend his not he-will-give to-him because-of at-least
τὴν ἀναίδειαν αὐτοῦ δώσει αὐτῷ ἀναστάς, ὅσον χρῄζει.
the shamelessness his he-will-give to-him having-risen as-much-as he-needs
Ἀναιδῶς οὖν καὶ ἀδιαλείπτως, καὶ ἀπερικακήτως αἰτεῖν 27
shamelessly then and unceasingly and without-losing-heart to-ask
ἡμᾶς τὴν παρ᾽ αὐτοῦ τῆς χάριτος ἀντίληψιν, διὰ
us the from him of-the grace support through
τούτων πάντων προετρέψατο. Διὰ γὰρ τοὺς ἁμαρτωλοὺς
these all he-urged because-of for the sinners
ἦλθεν, ἵνα ἐπιστρέψωσι πρὸς αὐτόν, καὶ ἰάσηται τοὺς
he-came that they-may-return to him and he-may-heal the(-ones)
πιστεύοντας αὐτῷ· μόνον ἡμεῖς τῶν κακῶν προλήψεων
believing him only we from-the evil preconceptions
ἀποστήσωμεν ἑαυτούς, ὅσον τὸ ἐν ἡμῖν δυνατόν,
let-us-remove ourselves as-much-as the(-thing) in us possible
καὶ μισήσωμεν τὰ φαῦλα ἐπιτηδεύματα, καὶ τὰς τοῦ
and let-us-hate the base practices and the of-the
κόσμου ἀπάτας, καὶ τοὺς πονηροὺς καὶ ματαίους λογισμοὺς
world deceits and the evil and vain thoughts
ἀποστραφῶμεν, καὶ πάντοτε πρὸς αὐτὸν ὅση δύναμις
let-us-turn-away-from and always to him as-far-as (our)-power
προσκολληθῶμεν· καὶ αὐτὸς ἕτοιμος ποιεῖν ἡμῖν τὴν παρ᾽
let-us-cleave and he (is)-ready to-do for-us the from
αὐτοῦ βοήθειαν. Εἰς τοῦτο γάρ ἐστιν ἐλεῶν, καὶ ζωοποιῶν,
him help for this for he-is pitying and quickening
καὶ ἰώμενος τὰ ἀνίατα πάθη, καὶ λύτρωσιν ποιῶν τοῖς
and healing the incurable passions and redemption making for-the(-ones)
ἐπικαλουμένοις αὐτὸν καὶ πρὸς αὐτὸν ἐπιστρέφουσι, πάσης
calling-upon him and to him returning from-all

κοσμικῆς ἀγάπης ὅση δύναμις ἐκ θελήματος καὶ
worldly love as-far-as (their)-power from will and
προαιρέσεως ἀναχωροῦσι, καὶ τὴν διάνοιαν ἀπὸ γῆς
choice withdrawing and the mind from earth
ἕλκουσι, καὶ πρὸς αὐτὸν τῇ ἐπιζητήσει καὶ ἐπιποθήσει
dragging and to him in-the seeking and longing
ἀποκρεμαμένοις· ἡ τοιαύτη ψυχὴ τῆς παρ᾽ αὐτοῦ βοηθείας
hanging the such soul of-the from him help
ἀξιοῦται, ἡ πάντα περισσὰ ἡγουμένη, καὶ ἐπὶ μηδενὶ
is-deemed-worthy the(-one) all(-things) superfluous considering and in nothing
τοῦ κόσμου ἀναπαυομένη· ἀλλ᾽ εἰς τὴν αὐτοῦ ἀνάπαυσιν
of-the world resting but in the his rest
τῆς χρηστότητος ἀναπαῆναι καὶ εὐφρανθῆναι ἐκδεχομένη·
of-the kindness to-rest and to-be-gladdened awaiting
καὶ οὕτως διὰ τῆς τοιαύτης πίστεως ἐπιτυχοῦσα τῆς
and thus through the such faith having-obtained the
ἐπουρανίου δωρεᾶς, καὶ τὴν ἐπιθυμίαν αὐτῆς ἐν πληροφορίᾳ
heavenly gift and the desire her in full-assurance
διὰ τῆς χάριτος ἀναπαύσασα, καὶ λοιπὸν συμφώνως
through the grace having-brought-to-rest and henceforth harmoniously
καὶ ἀκολούθως τῷ Πνεύματι τῷ ἁγίῳ διακονήσασα, καὶ
and consistently with-the Spirit the holy having-served and
ὁσημέραι εἰς τὸ ἀγαθὸν προκόπτουσα, καὶ εἰς τὴν ὁδὸν
daily to the good advancing and in the way
τῆς δικαιοσύνης ἐμμένουσα, καὶ εἰς τὸ τέλος ἄκαμπτος καὶ
of-the righteousness abiding and to the end unbending and
ἀσυνδύαστος εἰς τὸ κακίας μέρος διαμείνασα, καὶ τὴν
unmixed toward the of-vice part having-remained and the
χάριν ἐν μηδενὶ λυπήσασα τῆς αἰωνίου σωτηρίας σὺν πᾶσι
grace in nothing having-grieved of-the eternal salvation with all

τοῖς ἁγίοις καταξιοῦται, ἅτε δὴ κοινωνὸς καὶ σύνδρομος
the saints is-deemed-worthy as indeed (a)-partner and fellow-runner
κατὰ μίμησιν αὐτῶν ἐν κόσμῳ ἀναστραφεῖσα. Ἀμήν.
in imitation of-them in (the)-world having-lived amen

V · THE CHRISTIANS AND THE WORLD

Christians differ from the world's people, who are sifted like wheat in Satan's sieve by unstable thoughts. The difference lies not in outward guise but in the renewed mind, and few keep a single love for God to the end, since most are bound by some love of the world, as a man perishes going into a burning house for his goods. The glory the saints hold within will clothe their bodies at the resurrection, their true April.

Ὁ τῶν Χριστιανῶν κόσμος ἕτερός ἐστι, καὶ διαγωγή, καὶ 1
the of-the Christians world other is and conduct and
νοῦς, καὶ λόγος, καὶ πρᾶξις ἑτέρα τυγχάνει, καὶ ἡ τῶν
mind and word and action other is and the of-the
ἀνθρώπων τοῦ κόσμου τούτου διαγωγή, καὶ νοῦς, καὶ
men of-the world this conduct and mind and
λόγος, καὶ πρᾶξις ἑτέρα. Ἄλλο τί εἰσιν ἐκεῖνοι καὶ
word and action other one-thing something are those and
ἄλλο τί εἰσιν οὗτοι, καὶ πολλὴ διάστασις μεταξὺ
another-thing something are these and much distance between
τούτων κἀκείνων. Οἱ γὰρ τῆς γῆς οἰκήτορες, καὶ
these and-those the(-ones) for of-the earth dwellers and
τὰ τέκνα τοῦ αἰῶνος τούτου, ἐοίκασι σίτῳ βεβλημένῳ
the children of-the age this are-like wheat cast
ἐν σινίῳ τῆς γῆς ταύτης, σινιαζόμενοι ἐν ἀστάτοις
in (the)-sieve of-the earth this being-sifted in unstable
λογισμοῖς τοῦ κόσμου τούτου, καὶ σάλῳ ἀπαύστῳ τῶν
thoughts of-the world this and tossing unceasing of-the

γηΐνων πραγμάτων, ἐπιθυμιῶν, καὶ πολυπλόκων ἐννοιῶν
earthly matters of-lusts and intricate conceptions
ὑλικῶν, τὰς ψυχὰς κλυδωνίζοντος καὶ σινιάζοντος Σατανᾶ
material the souls billowing and sifting Satan
διὰ τοῦ σινίου, τουτέστι τῶν γηΐνων πραγμάτων, πᾶν
through the sieve that-is the earthly matters all
τὸ ἁμαρτωλὸν γένος τῶν ἀνθρώπων, ἀπὸ τῆς τοῦ Ἀδὰμ
the sinful race — of-men from the — of-Adam
ἐκπτώσεως παραβάντος τὴν ἐντολήν· καὶ ὑπὸ τὸν
fall (him)-having-transgressed the commandment and under the
ἄρχοντα τῆς πονηρίας γεγονότος, λαβόντος αὐτοῦ τὴν
ruler of-the wickedness having-come (him)-having-taken his the
ἐξουσίαν, καὶ λοιπὸν ἀπαύστοις λογισμοῖς ἀπάτης καὶ
authority and henceforth with-unceasing thoughts of-deceit and
κλόνου σινιάζοντος καὶ προσκρούοντος τῷ σινίῳ τῆς
tumult sifting and dashing against-the sieve of-the
γῆς πάντας τοὺς υἱοὺς τοῦ αἰῶνος τούτου.
earth all the sons of-the age this

2 Ὥσπερ γὰρ ἐν τῷ σινίῳ ὁ σῖτος ὑπὸ τοῦ σινιάζοντος
as for in the sieve the wheat by the(-one) sifting
προσκόπτει, καὶ ἐν αὐτῷ ἀστάτως σαλευόμενος στρέφεται·
stumbles and in it unstably being-shaken turns
οὕτω διὰ τῶν γηΐνων πραγμάτων πάντας τοὺς ἀνθρώπους
thus through the earthly matters all the men
κατέχει ὁ τῆς πονηρίας ἄρχων, καὶ δι' αὐτῶν σαλεύει,
holds the of-the wickedness ruler and through them shakes
καὶ κλονεῖ, καὶ προσκόπτειν ποιεῖ διαλογισμοῖς ματαίοις,
and tosses and to-stumble makes(-them) with-reasonings vain
καὶ αἰσχραῖς ἐπιθυμίαις καὶ δεσμοῖς γηΐνοις καὶ κοσμικοῖς,
and shameful lusts and bonds earthly and worldly
ἀστάτως αἰχμαλωτίζων καὶ κλονῶν, καὶ δελεάζων πᾶν τὸ
unstably taking-captive and tossing and enticing all the

ἁμαρτωλὸν γένος τοῦ Ἀδάμ, ὡς ὁ Κύριος τοῖς ἀποστόλοις
sinful race — of-Adam as the Lord to-the apostles
τὴν τοῦ πονηροῦ κατ᾽ αὐτῶν ἐπανάστασιν μέλλουσαν
the of-the evil(-one) against them rising about
ἔσεσθαι προέλεγεν· Ἐξῃτήσατο ὑμᾶς ὁ Σατανᾶς σινιάσαι
to-be foretold has-demanded you — Satan to-sift
ὡς τὸν σῖτον· ἀλλ᾽ ἐγὼ ἐδεήθην τοῦ Πατρός μου, ἵνα
as the wheat but I besought the Father my that
μὴ ἐκλίπῃ ἡ πίστις ὑμῶν. Ὁ γὰρ τῷ Κάϊν ὑπὸ τοῦ
not fail the faith your the for — to-Cain by the
Δημιουργοῦ ῥηθεὶς λόγος, καὶ ἡ ἀπόφασις εἰς τὸ προφανές,
Creator spoken word and the sentence for the open
τό, Στένων, καὶ τρέμων, καὶ σειόμενος ἔσῃ ἐπὶ τῆς
the groaning and trembling and being-shaken you-shall-be on the
γῆς, τύπος καὶ εἰκὼν πάντων τῶν ἁμαρτωλῶν τυγχάνει
earth (a)-type and image of-all the sinners is
κατὰ τὸ κρυπτόν. Οὕτω γὰρ ἐκπεσὸν τῆς ἐντολῆς
according-to the hidden thus for having-fallen-from the commandment
τὸ γένος Ἀδάμ, καὶ ἁμαρτωλὸν καταστάν, ἐκείνην τὴν
the race of-Adam and sinful having-become that the
εἰκόνα κατὰ τὸ κρυπτὸν κέκτηται, σαλευόμενον ἀστάτοις
image in the hidden has-acquired being-shaken by-unstable
λογισμοῖς δειλίας τε καὶ φόβου, καὶ πάσης ταραχῆς,
thoughts of-cowardice both and fear and all turmoil
ἐπιθυμίαις καὶ ἡδοναῖς παντοδαπαῖς καὶ ποικίλαις τοῦ
with-lusts and pleasures of-every-kind and various of-the
ἄρχοντος τοῦ κόσμου τούτου πᾶσαν ψυχὴν κλυδωνίζοντος,
ruler of-the world this every soul billowing
τὴν μὴ γεγεννημένην ἐκ τοῦ Θεοῦ, καὶ ὡς σῖτον ἐν
the(-one) not having-been-born from — God and as wheat in
σινίῳ στρεφόμενον ἀστάτως τοὺς τῶν ἀνθρώπων λογισμοὺς
(a)-sieve turning unstably the of-the men thoughts

ποικίλως κλυδωνίζοντος, ἐν ἀπάταις κοσμικαῖς σαρκός, καὶ
variously billowing in deceits worldly of-flesh and
φόβοις, καὶ ταραχαῖς πάντας σαλεύοντος, καὶ δελεάζοντος.
with-fears and turmoils all shaking and enticing
3 Καὶ γὰρ ὁ Κύριος τοὺς ταῖς ἀπάταις καὶ τοῖς θελήμασι
and for the Lord the(-ones) the deceits and the wills
τοῦ πονηροῦ ἐξακολουθοῦντας δεικνύων, ὅτι τὴν εἰκόνα
of-the evil(-one) following showing that the image
τοῦ Κάϊν τῆς πονηρίας φέρουσιν, ἐλέγχων αὐτοὺς ἔλεγεν·
— of-Cain of-the wickedness they-bear reproving them said
Ὑμεῖς, φησί, τὰς ἐπιθυμίας τοῦ Πατρὸς ὑμῶν θέλετε ποιεῖν·
you he-says the lusts of-the Father your wish to-do
Ἐκεῖνος ἀνθρωποκτόνος ἦν ἀπ᾽ ἀρχῆς, καὶ ἐν τῇ ἀληθείᾳ
that(-one) (a)-man-slayer was from beginning and in the truth
οὐχ ἕστηκεν. Ὥστε πᾶν ἁμαρτωλὸν γένος τοῦ Ἀδὰμ τὴν
not has-stood so-that every sinful race — of-Adam the
καταδίκην ἐκείνην κατὰ τὸ κρυπτὸν κέκτηται, τό, Στένοντες
condemnation that in the hidden has-acquired the groaning
καὶ τρέμοντες ἔσεσθε σειόμενοι ἐν τῷ σινίῳ τῆς γῆς, ὑπὸ
and trembling you-shall-be being-shaken in the sieve of-the earth by
τοῦ σινιάζοντος Σατανᾶ. Ὥσπερ γὰρ ἐξ ἑνὸς τοῦ Ἀδὰμ
the sifting Satan as for from one — Adam
πᾶν τὸ γένος τῶν ἀνθρώπων ἐπὶ τῆς γῆς ἐξηπλώθη· οὕτω
all the race — of-men on the earth was-spread-out thus
μία τις κακία τῶν παθῶν εἰς τὸ ἁμαρτωλὸν γένος τῶν
one some vice of-the passions into the sinful race —
ἀνθρώπων ἐγκατέδυσε, καὶ πάντας ὁ τῆς κακίας ἄρχων
of-men sank-in and all the of-the vice ruler
ἐν ἀστάτοις, καὶ ὑλικοῖς, καὶ ματαίοις, καὶ ταραχώδεσι
in unstable and material and vain and turbulent
λογισμοῖς σινιάζειν ἐπαρκεῖ. Ὥσπερ γὰρ εἷς ἄνεμος πάντα
thoughts to-sift suffices as for one wind all

τὰ φυτὰ καὶ τὰ σπέρματα ἐπαρκεῖ κλονεῖν καὶ σείειν· ἢ
the plants and the seeds suffices to-toss and to-shake or
ὥσπερ ἓν σκότος τῆς νυκτὸς ἐπὶ πᾶσαν τὴν οἰκουμένην
as one darkness of-the night over all the inhabited-world
ἐφαπλοῦται, οὕτως ὁ τῆς πονηρίας ἄρχων, σκότος τι
is-spread-out thus the of-the wickedness ruler darkness some
λογικὸν κακίας καὶ θανάτου ὑπάρχων, καὶ ἄνεμός τις
rational of-vice and of-death being and wind some
κρυπτὸς καὶ ἄγριος τυγχάνων, πᾶν τὸ ἐπὶ τῆς γῆς γένος τῶν
hidden and wild being all the on the earth race —
ἀνθρώπων κλυδωνίζει, καὶ περιφέρει ἀστάτοις λογισμοῖς, καὶ
of-men billows and carries-about with-unstable thoughts and
ἐπιθυμίαις κόσμου δελεάζων τὰς καρδίας τῶν ἀνθρώπων,
lusts of-(the)-world enticing the hearts — of-men
καὶ σκότους ἀγνωσίας, πηρώσεως καὶ λήθης ἐμπίμπλησι
and with-darkness of-ignorance of-blindness and of-forgetfulness fills
πᾶσαν ψυχήν, τὴν μὴ ἄνωθεν γεγεννημένην, καὶ τῷ
every soul the(-one) not from-above born and in-the
φρονήματι καὶ τῷ νῷ ἐν ἄλλῳ αἰῶνι μεταβεβηκυῖαν·
thought and in-the mind into another age having-passed
καθὼς εἴρηται· Ἡμῶν δὲ τὸ πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει.
as it-is-said our but the citizenship in heavens is
Ἐν τούτῳ γὰρ διαφέρουσιν οἱ ἀληθεῖς Χριστιανοὶ παντὸς 4
in this for differ the true Christians from-all
τοῦ γένους τῶν ἀνθρώπων, καὶ πολλὴ διάστασις μεταξὺ
the race — of-men and much distance between
ἀμφοτέρων τυγχάνει, ὡς προελέγομεν, ἐν τῷ τὸν νοῦν καὶ
both is as we-said-before in the the mind and
τὴν διάνοιαν πάντοτε ἐν τῷ οὐρανίῳ φρονήματι τυγχάνειν,
the understanding always in the heavenly mind to-be
καὶ τὰ αἰώνια ἀγαθὰ ἐνοπτρίζεσθαι διὰ τὴν μετουσίαν
and the eternal goods to-behold-as-in-a-mirror because-of the partaking

καὶ μετοχὴν τοῦ Πνεύματος τοῦ ἁγίου, τῷ ἄνωθεν
and participation of-the Spirit the holy by-the from-above
αὐτοὺς ἐκ Θεοῦ γεγεννῆσθαι, καὶ τέκνα Θεοῦ ἐν ἀληθείᾳ
them from God to-have-been-born and children of-God in truth
καὶ δυνάμει γενέσθαι κατηξιῶσθαι, καὶ εἰς στάσιν καὶ
and power to-become to-have-been-deemed-worthy and to stability and
ἑδραιότητα, καὶ ἀταραξίαν καὶ κατάπαυσιν αὐτοὺς διὰ
steadiness and calm and rest them through
πολλῶν ἀγώνων καὶ κόπων, καὶ χρόνων κατηντηκέναι,
many contests and labors and times to-have-arrived
μηκέτι σινιαζομένους καὶ κυμαινομένους ἐν ἀστάτοις, καὶ
no-longer being-sifted and being-tossed in unstable and
ματαίοις λογισμοῖς· ἐν τούτῳ εἰσὶ μείζους καὶ κρείττονες
vain thoughts in this they-are greater and better
τοῦ κόσμου, διὰ τὸ τὸν νοῦν αὐτῶν καὶ τὸ φρόνημα
than-the world because-of the the mind their and the thinking
τῆς ψυχῆς ἐν τῇ τοῦ Χριστοῦ εἰρήνῃ, καὶ ἐν τῇ τοῦ
of-the soul in the — of-Christ peace and in the of-the
Πνεύματος ἀγάπῃ τυγχάνειν· ὥσπερ καὶ ὁ Κύριος περὶ
Spirit love to-be as also the Lord about
τῶν τοιούτων διεξερχόμενος ἔλεγε μεταβεβηκέναι ἐκ τοῦ
the such going-through said to-have-passed from the
θανάτου εἰς τὴν ζωήν. Τοιγαροῦν οὐκ ἐν σχήμασι καὶ τύποις
death into the life therefore not in guises and figures
ἐξωτέροις ἡ ἀλλοίωσις τῶν Χριστιανῶν ὑπάρχει, ὡς οἱ
outward the change of-the Christians is as the
πολλοὶ ἐν τούτῳ οἴονται εἶναι τὴν διαφορὰν καὶ διάκρισιν
many in this think to-be the difference and distinction
μεταξὺ καὶ αὐτῶν ἐν σχήμασι καὶ τύποις· καὶ ἰδοὺ τῷ
between and them in guises and figures and behold in-the
νῷ καὶ τῇ διανοίᾳ ὅμοιοι τῷ κόσμῳ τυγχάνουσι, τὸν
mind and in-the understanding like to-the world they-are the

σεισμὸν καὶ ἀκαταστασίαν τῶν λογισμῶν, καὶ ἀπιστίαν, καὶ
shaking and instability of-the thoughts and unbelief and
σύγχυσιν, καὶ ταραχήν, καὶ δειλίαν ὡς πάντες οἱ ἄνθρωποι
confusion and turmoil and cowardice as all the men
ἔχοντες. Καὶ τῷ μὲν σχήματι, καὶ τῷ δοκεῖν τοῦ
having and in-the indeed guise and in-the seeming from-the
κόσμου διαφέρουσι, καί τισιν ἐξωτέροις κατορθώμασι· τῇ
world they-differ and in-some outward achievements in-the
δὲ καρδίᾳ, καὶ τῷ νῷ, ἐν τοῖς γηΐνοις δεσμοῖς δέδενται,
but heart and in-the mind in the earthly bonds they-are-bound
ἀνάπαυσιν ἐκ τοῦ Θεοῦ καὶ εἰρήνην τὴν τοῦ Πνεύματος
rest from — God and peace the of-the Spirit
οὐράνιον ἐν τῇ καρδίᾳ μὴ κεκτημένοι· ἐπεὶ οὖν οὐκ ἐζήτησαν
heavenly in the heart not having-acquired since then not they-sought
παρὰ Θεοῦ, καὶ οὐκ ἐπίστευσαν τούτων καταξιωθῆναι.
from God and not believed of-these to-be-deemed-worthy
Ἐν γὰρ τῇ τοῦ νοὸς ἀνακαινίσει καὶ τῇ τῶν λογισμῶν 5
in for the of-the mind renewal and in-the of-the thoughts
εἰρήνῃ, καὶ τῇ τοῦ Κυρίου ἀγάπῃ καὶ οὐρανίῳ ἔρωτι,
peace and in-the of-the Lord love and heavenly love
ἡ καινὴ κτίσις τῶν Χριστιανῶν πάντων ἀνθρώπων τοῦ
the new creation of-the Christians from-all men of-the
κόσμου διαφέρει. Διὸ καὶ ἡ ἔλευσις τοῦ Κυρίου γέγονε,
world differs wherefore also the coming of-the Lord happened
τούτων τῶν πνευματικῶν ἀγαθῶν καταξιῶσαι τοὺς
of-these the spiritual goods to-deem-worthy the(-ones)
ἀληθῶς πιστεύοντας εἰς αὐτόν. Χριστιανῶν γὰρ ἡ δόξα,
truly believing in him of-Christians for the glory
καὶ τὸ κάλλος, καὶ ὁ πλοῦτος ὁ οὐράνιος ἀλάλητός ἐστι,
and the beauty and the wealth the heavenly unutterable is
καὶ μετὰ πόνου, καὶ ἱδρώτων, καὶ δοκιμασιῶν, καὶ ἀγώνων
and with toil and sweats and testings and contests

πολλῶν ποριζόμενος· τὸ δὲ ὅλον, χάριτι Θεοῦ. Εἰ γὰρ ἡ τοῦ
many being-procured the and whole by-grace of-God if for the of-the
ἐπιγείου βασιλέως θέα ἐπιθυμητὴ παρὰ πᾶσιν ἀνθρώποις
earthly king sight desirable to all men
τυγχάνει, καὶ πᾶς τις ἐπιδημῶν ἐν πόλει βασιλέως, ἐπιθυμεῖ
is and every one sojourning in (a)-city of-(a)-king desires
κἂν μόνον θεάσασθαι τὸ κάλλος αὐτοῦ, ἢ τὴν ὡραιότητα
even only to-behold the beauty his or the loveliness
τῶν ἐνδυμάτων, ἢ τῆς πορφύρας τὴν δόξαν, τῶν ποικίλων
of-the garments or of-the purple the glory of-the varied
μαργαριτῶν τὸ κάλλος, τοῦ διαδήματος τὴν εὐπρέπειαν,
pearls the beauty of-the diadem the comeliness
τῶν σὺν αὐτῷ ἀξιωμάτων τὴν τιμιότητα· ἐκτὸς εἰ μὴ
of-the with him dignitaries the preciousness except if not
οἱ πνευματικοὶ ἐξουδενοῦσιν αὐτά, διὰ τὸ ἄλλης δόξης
the spiritual(-ones) set-at-naught them because-of the of-another glory
ἐπουρανίου καὶ ἀσωμάτου πεπειρᾶσθαι, καὶ ἄλλῳ κάλλει
heavenly and bodiless to-have-had-experience and by-another beauty
ἀῤῥήτῳ τετρῶσθαι, καὶ ἄλλου πλούτου κεκοινωνηκέναι,
unspeakable to-have-been-wounded and of-another wealth to-have-shared
καὶ τῷ ἔσω ἀνθρώπῳ ἔσεσθαι, καὶ ἄλλου πνεύματος
and in-the inner man to-be and of-another spirit
μετέχειν. Ἐπεὶ οὖν τοῦ κόσμου τούτου ἄνθρωποι, οἱ τὸ
to-partake since then of-the world this men the(-ones) the
πνεῦμα τοῦ κόσμου ἔχοντες, ἐν πολλῇ ἐπιθυμίᾳ εἰσὶ τοῦ τὸν
spirit of-the world having in much desire are of-the the
ἐπίγειον βασιλέα θεάσασθαι, μόνον σὺν πάσῃ τῇ εὐπρεπείᾳ
earthly king to-behold only with all the comeliness
καὶ δόξῃ αὐτοῦ· ὅσον γὰρ ἐν τοῖς φαινομένοις πολλῷ
and glory his as-much-as for in the visible(-things) much
μείζων ἡ μερὶς αὐτοῦ ἐστι παρὰ πάντας τοὺς ἀνθρώπους,
greater the portion his is beyond all the men

οὕτως ἔνδοξον, οὕτως ἐπιθυμητὸν ὑπὸ πάντων, κἂν τῷ
thus glorious thus desirable by all if-even by-the
θεαθῆναι μόνον· καὶ ἕκαστος ἐν ἑαυτῷ λέγει· Εἴθε
to-be-beheld only and each in himself says would-that
τις ἔδωκέ μοι ἐκείνην τὴν δόξαν, καὶ τὴν εὐπρέπειαν,
someone gave me that the glory and the comeliness
καὶ τὴν ὡραιότητα, μακαρίζων ἐκεῖνον τὸν ὅμοιον αὐτοῦ
and the loveliness blessing that(-man) the like to-himself
γήϊνον, καὶ ὁμοιοπαθῆ καὶ θνητὸν ὄντα, διὰ δὲ τὴν
earthy and of-like-passions and mortal being because-of but the
πρόσκαιρον εὐπρέπειαν, καὶ δόξαν, ἐπιθυμητόν.
temporary comeliness and glory desirable
Εἰ οὖν οὕτως οἱ σαρκικοὶ ἄνθρωποι ἐπιθυμοῦσι τῆς δόξης 6
if then thus the fleshly men desire the glory
τοῦ γηΐνου βασιλέως, πόσῳ μᾶλλον οἷς ἐνέσταξεν
of-the earthly king how-much more (they)-into-whom dripped
ἐκείνη ἡ ῥανὶς τοῦ Πνεύματος τῆς ζωῆς τῆς θεότητος,
that the drop of-the Spirit of-the life of-the divinity
καὶ ἔτρωσε τὴν καρδίαν αὐτῶν ἔρωτι θείῳ, πρὸς τὸν
and wounded the heart their with-love divine toward the
ἐπουράνιον βασιλέα Χριστόν, εἰς ἐκεῖνο τὸ κάλλος δέδενται
heavenly king Christ to that the beauty are-bound
καὶ τὴν ἀνεκλάλητον δόξαν καὶ ἄφθαρτον εὐπρέπειαν,
and the unutterable glory and incorruptible comeliness
καὶ τὸν ἀνεννόητον πλοῦτον τοῦ ἀληθινοῦ καὶ αἰωνίου
and the inconceivable wealth of-the true and eternal
βασιλέως Χριστοῦ, οὗ τῇ ἐπιθυμίᾳ, καὶ τῷ πόθῳ
king Christ of-whom by-the desire and by-the longing
αἰχμαλωτίζονται, ὅλοι ἐξ ὅλου πρὸς αὐτὸν τυγχάνοντες,
they-are-taken-captive whole through whole toward him being
καὶ ἐπιθυμοῦσι τυχεῖν ἐκείνων ὧν ἐνοπτρίζονται διὰ
and desire to-obtain those which they-behold-as-in-a-mirror through

τοῦ Πνεύματος ἀλαλήτων ἀγαθῶν, οὗ ἕνεκεν πάντα
the Spirit unutterable goods of-which for-the-sake all
τὰ ἐπὶ γῆς κάλλη καὶ εὐπρεπείας, καὶ δόξας, καὶ
the(-things) on earth beauties and comelinesses and glories and
τιμάς, καὶ πλοῦτον βασιλέων καὶ ἀρχόντων ἐξουδενοῦσι·
honors and wealth of-kings and rulers they-set-at-naught
θείῳ γὰρ κάλλει ἐτρώθησαν, καὶ ζωὴ ἀθανασίας οὐρανίου
by-divine for beauty they-were-wounded and life of-immortality heavenly
ἐν ταῖς ψυχαῖς αὐτῶν ἐνέσταξε. Διὸ καὶ εἰς ἐκείνην
into the souls their dripped wherefore also for that
τὴν ἀγάπην τοῦ ἐπουρανίου βασιλέως ἐπιποθοῦσι, καὶ
the love of-the heavenly king they-long and
αὐτὸν μόνον πρὸ ὀφθαλμῶν ἐν πολλῇ ἐπιθυμίᾳ ἔχοντες
him alone before eyes in much desire having
δι᾽ αὐτοῦ πάσης ἀγάπης κόσμου λύουσιν ἑαυτούς, καὶ
through him from-all love of-(the)-world they-loose themselves and
ἀναχωροῦσι παντὸς γηΐνου δεσμοῦ, ἵνα δυνηθῶσιν ἐκεῖνον
withdraw from-every earthly bond that they-may-be-able that
μόνον τὸν πόθον ἐν ταῖς ἑαυτῶν καρδίαις ἔχειν πάντοτε,
only the longing in the their-own hearts to-have always
καὶ μηδὲν ἕτερον σὺν ἐκείνῳ μιγνύειν· ὀλίγοι δέ εἰσι πάνυ
and nothing other with that to-mingle few but are very
οἱ τῇ ἀγαθῇ ἀρχῇ τέλος ἀγαθὸν πορισάμενοι, καὶ
the(-ones) to-the good beginning (an)-end good having-procured and
διεξερχόμενοι, ἕως τέλους ἄπτωτοι, τὴν μίαν ἀγάπην πρὸς
going-through until (the)-end unfalling the one love toward
μόνον τὸν Θεὸν ἔχοντες, καὶ πάντων ἑαυτοὺς λελυκότες.
only — God having and from-all themselves having-loosed
Πολλοὶ γὰρ κατανύσσονται, καὶ πολλοὶ χάριτος οὐρανίου
ᾅδη καὶ σκότος, καὶ θάνατε, ἔκβαλε τὰς ἐγκεκλεισμένας
Hades and darkness and death cast-out the shut-in

ψυχὰς τοῦ Ἀδάμ.» Καὶ οὕτω λοιπὸν αἱ πονηραὶ δυνάμεις
souls — of-Adam and thus henceforth the evil powers
τρομάξασαι ἀποδιδοῦσι τὸν ἐγκεκλεισμένον Ἀδάμ.
having-trembled give-back the shut-in Adam
Ἀλλ' ὅταν ἀκούσῃς, ὅτι ἐν τῷ καιρῷ ἐκείνῳ ἐῤῥύσατο τὰς 11
but when you-hear that in the time that he-delivered the
ψυχὰς ἐκ τοῦ ᾅδου, καὶ τοῦ σκότους, καὶ ὅτι κατῆλθεν
souls from the Hades and the darkness and that went-down
εἰς τὸν ᾅδην ὁ Κύριος, καὶ ἐποίησεν ἔνδοξον ἔργον, μὴ
into the Hades the Lord and did (a)-glorious work not
μακρὰν ἀπὸ τῆς ψυχῆς σου τὰ πράγματα ταῦτα εἶναι
far from the soul your the matters these to-be
νομίσῃς. Ὁ γὰρ ἄνθρωπός ἐστι χωρητικὸς καὶ δεκτικὸς
suppose the for man is capable-of-containing and receptive
τοῦ πονηροῦ· κατέχει γὰρ ὁ θάνατος τὰς ψυχὰς τοῦ
of-the evil(-one) holds for the death the souls —
Ἀδάμ, καὶ ἐντὸς τοῦ σκότους εἰσὶν οἱ λογισμοὶ τῆς ψυχῆς
of-Adam and within the darkness are the thoughts of-the soul
ἐγκεκλεισμένοι. Καὶ ὅταν ἀκούσῃς περὶ μνημείων, μὴ τὰ
shut-in and when you-hear about tombs not the
φαινόμενα λογίσῃ μόνον· μνημεῖον γὰρ καὶ τάφος ἡ καρδία
visible(-ones) consider only (a)-tomb for and (a)-grave the heart
σου ἐστίν. Ὅταν γὰρ ὁ ἄρχων τῆς κακίας καὶ οἱ ἄγγελοι
your is when for the ruler of-the vice and the angels
αὐτοῦ ἐκεῖ ἐμφωλεύωσι, καὶ ὅταν τὰς τρίβους καὶ τὰς
his there make-their-den and when the paths and the
διόδους ἐκεῖ ποιῶνται, ὅπου ἐμπεριπατοῦσιν αἱ δυνάμεις
passages there they-make where walk-about the powers
τοῦ Σατανᾶ εἰς τὸν νοῦν σου, καὶ εἰς τοὺς λογισμούς
— of-Satan in the mind your and in the thoughts
σου, οὐχὶ ᾅδης, καὶ τάφος, καὶ μνημεῖον, καὶ νεκρὸς
your not (are-you)-Hades and grave and tomb and dead

εἶ τῷ Θεῷ; ἐκεῖ γὰρ ὁ Σατανᾶς ἀργύριον ἀδόκιμον
are-you — to-God there for — Satan silver counterfeit
ἐχάραξεν. Ἐν τῇ ψυχῇ ταύτῃ ἔσπειρε σπέρματα πικρίας·
stamped in the soul this he-sowed seeds of-bitterness
ἐζύμωσε ζύμῃ παλαιᾷ· βρύει ἐκεῖ πηγὴ βορβόρου.
he-leavened(-it) with-leaven old gushes there (a)-spring of-mire
Ἔρχεται οὖν ὁ Κύριος εἰς τὰς ἐπιζητούσας αὐτὸν ψυχάς,
comes then the Lord to the seeking him souls
εἰς τὸ βάθος τοῦ ᾅδου τῆς καρδίας, κἀκεῖ προστάσσει
into the depth of-the Hades of-the heart and-there commands
τῷ θανάτῳ λέγων, Ἔκβαλε τὰς ἐγκεκλεισμένας ψυχάς,
to-the death saying cast-out the shut-in souls
τὰς ἐμὲ ἐπιζητούσας, ἃς κατέχεις βιαίως. Διαῤῥήσσει
the(-ones) me seeking which you-hold by-force he-breaks
οὖν τοὺς βαρεῖς λίθους ἐπικειμένους τῇ ψυχῇ, ἀνοίγει τὰ
then the heavy stones lying-upon the soul opens the
μνημεῖα, ἀνιστᾷ τὸν ἀληθινὸν νεκρόν, ἐκβάλλει ἐκ τῆς
tombs raises the true dead(-man) leads-out from the
σκοτεινῆς φυλακῆς τὴν ἐγκεκλεισμένην ψυχήν.
dark prison the shut-in soul

12 Ὃν τρόπον ἐὰν ᾖ ἄνθρωπος δεδεμένος χεῖρας καὶ
in-what way if there-be (a)-man bound (in)-hands and
πόδας ἁλύσεσι, καὶ ἔλθῃ τις ὁ διαλύων αὐτοῦ τὰ
feet with-chains and come someone the(-one) loosing his the
δεσμά, καὶ ἀφῇ αὐτὸν ἐλεύθερον περιπατεῖν ἐν ἀνεκτότητι·
bonds and let him free to-walk in ease
οὕτω τὴν δεδεμένην ψυχὴν ταῖς ἁλύσεσι τοῦ θανάτου λύει
thus the bound soul with-the chains of-the death looses
ὁ Κύριος ἀπὸ δεσμῶν, καὶ ἀφίησιν αὐτήν, καὶ ἐλευθεροῖ
the Lord from bonds and lets-go her and frees
τὸν νοῦν τοῦ ἀκόπως ἐν ἀναπαύσει περιπατεῖν εἰς τὸν
the mind of-the without-toil in rest to-walk in the

θεϊκὸν ἀέρα. Ὥσπερ ἐὰν ᾖ ἄνθρωπος ἐν πλησμονῇ
divine air as if there-be (a)-man in (the)-flood
ποταμοῦ ἐν μέσῳ, καὶ καταβυθισθεὶς ἐν τῷ ὕδατι κεῖται
of-(a)-river in (the)-middle and having-sunk in the water he-lies
νεκρός, πεπνιγμένος ἀναμέσον δεινῶν θηρίων· καὶ εἰ θελήσει
dead drowned among dreadful beasts and if wishes
ἄλλος ἄνθρωπος ἄπειρος τοῦ κολυμβᾷν, διασῶσαι τὸν
another man inexperienced of-the to-swim to-rescue the(-one)
ἐμπεσόντα, καὶ αὐτὸς συναπόλλυται καὶ πνίγεται. Λοιπὸν
having-fallen-in also he-himself perishes-with(-him) and is-drowned henceforth
οὖν ὧδε ἐμπείρου κολυμβητοῦ, καὶ τεχνίτου χρεία,
then here of-(an)-experienced swimmer and craftsman (there-is)-need
ἵνα εἰσελθὼν εἰς τὸ βάθος τοῦ κόλπου τοῦ ὕδατος ἐκεῖ
that having-gone into the depth of-the gulf of-the water there
καταδύσῃ καὶ ἀνενέγκῃ τὸν καταπεποντισμένον καὶ ὄντα
he-may-dive and bring-up the(-one) drowned and being
ἀναμέσον τῶν θηρίων· καὶ αὐτὸ δὲ τὸ ὕδωρ ὅταν ἴδῃ
among the beasts and the-very too the water when it-sees
ἔμπειρον καὶ εἰδότα πλέειν, βοηθεῖ τούτῳ, καὶ ἀναφέρει
(one)-experienced and knowing to-swim helps this(-one) and bears
αὐτὸν ἐπὶ τὰ ἀνώτερα μέρη. Οὕτως ἡ ψυχὴ εἰς ἄβυσσον
him to the upper parts thus the soul in (an)-abyss
σκότους, καὶ εἰς τὸ βάθος τοῦ θανάτου καταποντισθεῖσα
of-darkness and in the depth of-the death having-been-drowned
πέπνικται, καὶ νεκρά ἐστιν ἀπὸ τοῦ Θεοῦ ἀναμέσον θηρίων
has-been-choked and dead is from — God among beasts
δεινῶν. Καὶ τίς δύναται εἰς τὰ ταμιεῖα ἐκεῖνα καὶ τὰ
dreadful and who can into the chambers those and the
βάθη τοῦ ᾅδου καὶ τοῦ θανάτου κατελθεῖν, εἰ μὴ αὐτὸς ὁ
depths of-the Hades and of-the death to-go-down if not the-very the
τεχνίτης ὁ ἐργασάμενος τὸ σῶμα; Αὐτὸς ἔρχεται εἰς
craftsman the(-one) having-made the body he comes into

τὰ δύο μέρη, εἰς τὸ βάθος τοῦ ᾅδου, καὶ πάλιν εἰς τὸν
the two parts into the depth of-the Hades and again into the
βαθὺν κόλπον τῆς καρδίας, ὅπου κατέχεται ἡ ψυχὴ ὑπὸ
deep gulf of-the heart where is-held the soul by
τοῦ θανάτου σὺν τοῖς λογισμοῖς αὐτοῖς, καὶ ἀναφέρει ἐκ
the death with the thoughts themselves and brings-up from
τοῦ σκοτεινοῦ βυθοῦ τὸν νενεκρωμένον Ἀδάμ. Καὶ αὐτὸς
the dark depth the deadened Adam and the-very
δὲ ὁ θάνατος, διὰ τῆς γυμνασίας εἰς βοήθειαν γίνεται
too the death through the exercise for help becomes
αὐτοῦ τοῦ ἀνθρώπου, ὥσπερ τὸ ὕδωρ τῷ κολυμβῶντι.
of-the-very the man as the water to-the(-one) swimming

13 Τί γὰρ δυσχερές ἐστι τῷ Θεῷ εἰσελθεῖν εἰς τὸν θάνατον,
what for difficult is — for-God to-go into the death
καὶ πάλιν εἰς τὸν βαθὺν κόλπον τῆς καρδίας, κἀκεῖθεν
and again into the deep gulf of-the heart and-from-there
ἀνακαλέσασθαι τὸν νενεκρωμένον Ἀδάμ; ἐν γὰρ τῷ
to-call-back the deadened Adam in for the
φαινομένῳ αἰῶνι εἰσιν οἰκίαι καὶ οἰκοδομαί, ὅπου ἡ
visible age there-are houses and buildings where the
ἀνθρωπότης κατοικεῖ· Καί εἰσιν ὅπου θηρία, λέοντες, ἢ
humanity dwells and there-are where beasts lions or
δράκοντες, καὶ ἄλλα ἰοβόλα θηρία. Εἰ τοίνυν ὁ ἥλιος
serpents and other venomous beasts if therefore the sun
κτίσμα ὤν, εἰσέρχεται πανταχόθεν, διὰ τῶν θυρίδων,
(a)-creature being enters from-everywhere through the windows
ἤτοι θυρῶν, καὶ εἰς τὰ σπήλαια τῶν λεόντων, καὶ εἰς τὰς
or doors and into the caves of-the lions and into the
ὀπὰς τῶν ἑρπετῶν, καὶ ἐξέρχεται, καὶ οὐδὲν βλάπτεται·
holes of-the reptiles and goes-out and in-nothing is-harmed
πόσῳ μᾶλλον ὁ Θεὸς καὶ Δεσπότης πάντων εἰσέρχεται
how-much more — God and Master of-all enters

εἰς τοὺς φωλεούς, καὶ εἰς τοὺς οἴκους, ὅπου κατεσκήνωσεν
into the dens and into the houses where has-encamped
ὁ θάνατος, καὶ εἰς τὰς ψυχάς, κἀκεῖθεν ῥυόμενος τὸν
the death and into the souls and-from-there delivering —
Ἀδὰμ οὐκ ἀδικεῖται ὑπὸ τοῦ θανάτου; Καὶ ὁ ὑετὸς
Adam not is-wronged by the death and the rain
ἐξ οὐρανοῦ κατερχόμενος, φθάνει κατέρχεσθαι εἰς τὰ
from heaven coming-down reaches to-come-down to the
κατώτερα μέρη τῆς γῆς, κἀκεῖθεν τὰς ξηρανθείσας ῥίζας
lower parts of-the earth and-from-there the dried roots
ἀνύγρανε καὶ ἀνεκαίνισε, καὶ ἐποίησεν ἐκεῖ γέννημα καινόν.
moistened and renewed and made there (a)-crop new
Ἄλλος ἐστὶν ὁ ἔχων ἀγῶνα, καὶ θλῖψιν, καὶ πόλεμον 14
another is the(-one) having contest and affliction and war
πρὸς τὸν Σατανᾶν· οὗτος συντετριμμένην ἔχει τὴν ψυχὴν
against — Satan this(-one) crushed has the soul
αὐτοῦ· ἐν μερίμνῃ γάρ ἐστι καὶ πένθει καὶ δάκρυσιν. Εἰς
his in care for he-is and mourning and tears in
δύο πρόσωπα εἰστήκει ὁ τοιοῦτος. Εἰ τοίνυν ἐν τοιούτοις
two faces stands the such(-man) if therefore in such
πράγμασιν εἰστήκει οὗτος, εἰς τὸν πόλεμον μετ᾽ αὐτοῦ ἐστιν
matters stands this(-one) in the war with him is
ὁ Κύριος καὶ φυλάσσει αὐτόν· ἐπιζητεῖ γὰρ σπουδαίως,
the Lord and guards him he-seeks for earnestly
καὶ κρούει τὴν θύραν, πότε αὐτῷ ἀνοίγει. Πάλιν δὲ
and knocks-at the door when to-him he-opens again and
εἰ φαίνεταί σοι ἀδελφὸς ἀγαθὸς ὧδε, ὑπὸ τῆς χάριτός
if appears to-you (a)-brother good here by the grace
ἐστιν ἐστηριγμένος. Ὁ δὲ μὴ ἔχων θεμέλιον, οὐκ ἔχει
he-is established the(-one) and not having (a)-foundation not has
τοσοῦτον φόβον Θεοῦ, οὐ συντέτριπται αὐτοῦ ἡ καρδία,
so-much fear of-God not has-been-crushed his the heart

οὔτε ἐστὶν ἐν φόβῳ, οὔτε ἀσφαλίζεται αὐτοῦ τὴν καρδίαν
nor is-he in fear nor does-he-secure his the heart
καὶ τὰ μέλη, τοῦ μὴ ἀτάκτως περιπατεῖν. Οὗτος ἀκμὴν
and the members from-the not disorderly to-walk this(-man) still
ἀπολελυμένην ἔχει τὴν ψυχὴν αὐτοῦ· οὔπω γὰρ εἰσῆλθεν
loosed has the soul his not-yet for has-he-entered
εἰς ἀγῶνα. Ἄλλος οὖν ἐστιν ὁ ἐν ἀγῶνι καὶ θλίψει,
into contest another then is the(-one) in contest and affliction
καὶ ἄλλος ὁ μὴ εἰδὼς τί ἐστι πόλεμος. Καὶ γὰρ τὰ
and another the(-one) not knowing what is war and for the
σπέρματα ὅταν βληθῇ εἰς τὴν γῆν, θλῖψιν ὑπομένει εἰς
seeds when it-is-cast into the earth affliction endures in
τοὺς πάγους, εἰς τὸν χειμῶνα, εἰς τὴν ψυχρότητα τῶν
the frosts in the winter in the coldness of-the
ἀέρων· καὶ ἐν τῷ δέοντι καιρῷ ἀναζωοποιεῖται τὸ γέννημα.
airs and in the due season is-quickened the crop
15 Συμβαίνει δὲ ὅτι ὁ Σατανᾶς διαλέγεταί σοι ἐν τῇ
it-happens and that — Satan converses with-you in the
καρδίᾳ· Ἴδε πόσα κακὰ ἐποίησας, ἰδοὺ πόσων μανιῶν
heart see how-many evils you-have-done behold with-how-many madnesses
πεπλήρωταί σου ἡ ψυχή, καὶ βεβαρημένος εἶ ἀπὸ
has-been-filled your the soul and weighed-down you-are by
ἁμαρτιῶν, ὅτι οὐκέτι δύνασαι σωθῆναι. Ταῦτα δὲ
sins so-that no-longer you-can to-be-saved these(-things) and
ποιεῖ, ἵνα ἐνέγκῃ σε εἰς ἀπελπισμόν, καὶ ὅτι οὐκ ἔστιν
he-does that he-may-bring you into despair and that not is
εὐπρόσδεκτος ἡ μετάνοιά σου. Ἐπειδὴ γὰρ παρεισῆλθε
acceptable the repentance your since for crept-in
διὰ τῆς παραβάσεως ἡ κακία, λοιπὸν καθ' ἑκάστην
through the transgression the vice henceforth at each
ὥραν διαλέγεται τῇ ψυχῇ ὡς ἄνθρωπος μετὰ ἀνθρώπου.
hour it-converses with-the soul as (a)-man with (a)-man

Ἀποκρίθητι αὐτῷ καὶ σύ, ὅτι ἔχω τὰς μαρτυρίας τοῦ
answer him also you that I-have the testimonies of-the
Κυρίου ἐγγράφως, καὶ ὅτι οὐ βούλομαι τὸν θάνατον τοῦ
Lord in-writing and that not I-wish the death of-the
ἁμαρτωλοῦ, ὡς τὴν μετάνοιαν, καὶ τὸ ἀποστραφῆναι αὐτὸν
sinner as the repentance and the to-turn him
ἀπὸ τῆς ὁδοῦ τῆς πονηρᾶς, καὶ ζῆν αὐτόν. Διὰ τοῦτο
from the way the evil and to-live him because-of this
γὰρ κατῆλθεν αὐτός, ἵνα τοὺς ἁμαρτωλοὺς σώσῃ, τοὺς
for came-down he that the sinners he-might-save the
νεκροὺς ἀνεγείρῃ, τοὺς τεθανατωμένους ζωοποιήσῃ, τοὺς
dead might-raise the(-ones) put-to-death might-quicken the(-ones)
ἐν τῷ σκότει φωτίσῃ. Ἀληθῶς γὰρ ἐλθὼν εἰς υἱοθεσίαν
in the darkness might-illumine truly for having-come to adoption
ἡμᾶς ἐκάλεσεν, εἰς πόλιν ἁγίαν, εἰρηνευομένην, εἰς ζωὴν
us he-called to (a)-city holy at-peace to life
τὴν μηδέποτε ἀποθνήσκουσαν, εἰς δόξαν ἄφθαρτον. Μόνον
the(-one) never dying to glory incorruptible only
ἡμεῖς τῇ ἀρχῇ ἡμῶν δῶμεν τέλος ἀγαθόν· ἐμμείνωμεν τῇ
we to-the beginning our let-us-give (an)-end good let-us-abide in-the
πτωχείᾳ, τῇ ξενητείᾳ, τῇ κακουχίᾳ, τῇ αἰτήσει τῇ
poverty in-the life-abroad in-the hardship in-the asking the(-asking)
πρὸς τὸν Θεόν, μετὰ ἀναιδείας κρούοντες τὴν θύραν. Ὥσπερ
toward — God with shamelessness knocking-at the door as
γὰρ ἐγγύς ἐστι τὸ σῶμα τῆς ψυχῆς, οὕτως ἐγγύτερος
for near is the body to-the soul thus nearer
ὁ Κύριος τοῦ ἐλθεῖν καὶ ἀνοῖξαι τὰς κεκλεισμένας
(is)-the Lord of-the to-come and to-open the shut
θύρας τῆς καρδίας, καὶ δωρήσασθαι ἡμῖν τὸν πλοῦτον τὸν
doors of-the heart and to-bestow on-us the riches the
οὐράνιον. Ἀγαθὸς γάρ ἐστι καὶ φιλάνθρωπος, καὶ ἀψευδεῖς
heavenly good for he-is and loving-mankind and unlying

εἰσιν αὐτοῦ αἱ ἐπαγγελίαι, μόνον ἐὰν ὑπομείνωμεν ἕως
are his the promises only if we-endure until
τέλους ἐπιζητοῦντες αὐτόν. Δόξα τοῖς οἰκτιρμοῖς Πατρός,
(the)-end seeking him glory to-the compassions of-(the)-Father
καὶ Υἱοῦ, καὶ ἁγίου Πνεύματος, εἰς τοὺς αἰῶνας. Ἀμήν.
and Son and holy Spirit for the ages amen

XII · ADAM'S TWO LOSSES

Adam lost both the purity of his nature and the heavenly image in which his inheritance lay. God now overlooks those who have turned from him. Questions follow: a man is poor in spirit when grace teaches him, however advanced, to count himself nothing; Adam had the Word with him as teacher and inheritance; the woman praying uncovered is a type of the Church; and Martha's complaint shows the power that came to Mary through the Lord's words.

1 Ὁ Ἀδὰμ τὴν ἐντολὴν παραβάς, κατὰ δύο τρόπους
— Adam the commandment having-transgressed in two ways
ἀπώλετο· ἕνα μέν, ὅτι ἀπώλεσε τὸ κτῆμα τὸ καθαρὸν
perished one indeed that he-lost the possession the(-one) pure
τῆς φύσεως αὐτοῦ, τὸ ὡραῖον, τὸ κατ' εἰκόνα καὶ
of-the nature his the lovely(-one) the(-one) after (the)-image and
ὁμοίωσιν Θεοῦ· ἕτερον δέ, ὅτι ἀπώλεσεν αὐτὴν τὴν εἰκόνα,
likeness of-God (the)-other and that he-lost the-very the image
ἐν ᾗ ἀπέκειτο αὐτῷ κατ' ἐπαγγελίαν ἡ ἐπουράνιος
in which was-laid-up for-him by promise the heavenly
πᾶσα κληρονομία. Ὥσπερ ἐὰν ᾖ νόμισμα, τὴν εἰκόνα
whole inheritance as if there-be (a)-coin the image
τοῦ βασιλέως ἔχον, καὶ τοῦτο παραχαραγῇ, ὁ χρυσός τε
of-the king having and this be-falsely-stamped the gold both
ἀπώλετο, καὶ ἡ εἰκὼν οὐ χρησιμεύει, τοιοῦτον ἔπαθε καὶ
perished and the image not is-useful such(-a-thing) suffered also

ὁ Ἀδάμ· μέγας γὰρ πλοῦτος καὶ μεγάλη ἡ κληρονομία
— Adam great for wealth and great the inheritance
εὐτρέπιστο αὐτῷ. Ὥσπερ ἐὰν ᾖ χωρίον μέγα, καὶ
had-been-prepared for-him as if there-be (an)-estate great and
τοῦτο ἔχῃ προσόδους πολλάς, ἐκεῖ ἄμπελος εὐθύνουσα, ἐκεῖ
this have revenues many there (a)-vine thriving there
χῶραι εὐφοροῦσαι, ἐκεῖ ἀγέλαι, ἐκεῖ χρυσὸς καὶ ἄργυρος·
lands fruitful there herds there gold and silver
οὕτως ἦν τίμιον τὸ χωρίον πρὸ τῆς παρακοῆς, αὐτὸ
thus was precious the estate before the disobedience the-very
τὸ σκεῦος τοῦ Ἀδάμ. Ἀλλ' ἐπειδὴ κακὰ ἔσχε διανοήματα
the vessel — of-Adam but since evil he-had conceptions
καὶ λογισμούς, ἀπώλετο ἀπὸ τοῦ Θεοῦ.
and thoughts he-perished from — God
Οὐ λέγομεν δὲ ὅτι ἀπώλετο τὸ ὅλον καὶ ἠφανίσθη, καὶ 2
not we-say and that he-perished the whole and was-obliterated and
ἀπέθανεν· ἀπὸ τοῦ Θεοῦ ἀπέθανε, τῇ δὲ ἰδίᾳ φύσει
died from — God he-died to-the but own nature
ζῇ. Ἰδοὺ γὰρ ὅλος ὁ κόσμος περιπατεῖ ἐν τῇ γῇ, καὶ
he-lives behold for whole the world walks on the earth and
πραγματεύεται· ἀλλ' ὀφθαλμὸς τοῦ Θεοῦ βλέπει αὐτὸν
trades but (the)-eye — of-God sees the-very
τὸν νοῦν, καὶ τὰς ἐνθυμήσεις, καὶ ὡς περιβλέπει,
the mind and the reflections and as-it-were looks-around
καὶ παραβλέπει, καὶ οὐ ποιεῖ ἐν αὐτοῖς κοινωνίαν,
and overlooks(-them) and not makes in them communion
ἐπειδὴ οὐδὲν εὐάρεστον τῷ Θεῷ λογίζονται. Ὥσπερ ἐὰν
since nothing well-pleasing — to-God they-think as if
ὦσι πανδοχεῖα, καὶ πορνεῖα, καὶ τόποι ὅπου ἀταξίαι
there-be inns and brothels and places where disorders
γίνονται καὶ ἀσωτίαι· λοιπὸν οἱ θεοσεβεῖς παρερχόμενοι οὐ
happen and debaucheries henceforth the God-fearing passing-by not

βδελύσσονται, καὶ βλέποντες οὐ βλέπουσιν; ὡς νεκρὰ γὰρ
do-they-loathe(-them) and seeing not do-they-see as dead for
αὐτοῖς ἐστιν· οὕτω καὶ ὁ Θεὸς ἐπὶ τοὺς ἀποστατήσαντας
to-them it-is thus also — God upon the(-ones) having-revolted
διὰ τοῦ λόγου αὐτοῦ, καὶ ἀπὸ τῆς ἐντολῆς, ἐπιβλέπει
through the word his and from the commandment looks
μέν, ἀλλὰ παραβλέπει αὐτούς, καὶ οὐ ποιεῖ ἐκεῖ κοινωνίαν,
indeed but overlooks them and not makes there communion
οὔτε ἐπαναπαύεται εἰς τοὺς λογισμοὺς αὐτῶν ὁ Κύριος.
nor rests in the thoughts their the Lord

3 Ἐρώτησις. Πῶς τις δύναται εἶναι πτωχὸς τῷ πνεύματι,
question how someone can to-be poor in-the spirit
μάλιστα ὅτε αἰσθηθῇ ἐν ἑαυτῷ, ὅτι μετετέθη καὶ
especially when he-perceives in himself that he-was-transferred and
προέκοψε, καὶ εἰς γνῶσιν καὶ σύνεσιν ἦλθεν, ἣν τὸ
advanced and to knowledge and understanding came which the
πρότερον οὐκ εἶχεν;
formerly not he-had
Ἀπόκρισις. Ἕως οὖ ταῦτά τις κτᾶται, καὶ προκόπτει,
answer until — these(-things) someone acquires and advances
οὐκ ἔστι πτωχὸς τῷ πνεύματι, ἀλλ' οἴεται περὶ
not he-is poor in-the spirit but he-has-opinions about
ἑαυτοῦ· ὅταν δὲ ἔλθῃ εἰς ταύτην τὴν σύνεσιν καὶ τὴν
himself when but he-comes to this the understanding and the
προκοπήν, αὕτη ἡ χάρις διδάσκει αὐτὸν εἶναι πτωχὸν
advance this the grace teaches him to-be poor
τῷ πνεύματι, τὸν ὄντα τινὰ δίκαιον καὶ ἐκλεκτὸν
in-the spirit the(-one) being some righteous and chosen
Θεοῦ, μὴ ἡγεῖσθαί τι ἑαυτὸν εἶναι, ἀλλ' ἔχειν τὴν
of-God not to-consider something himself to-be but to-hold the
ψυχὴν αὐτοῦ ἄτιμον καὶ ἐξουδενουμένην, ὡς μηδὲν εἰδότα
soul his dishonored and set-at-naught as nothing knowing

ἢ ἔχοντα, καίτοι εἰδότα καὶ ἔχοντα. Τοῦτο δὲ ὡς φυσικὸν
or having although knowing and having this and as natural
καὶ πηκτὸν γίνεται ἐπὶ τῷ νοῒ τῶν ἀνθρώπων. Οὐχ ὁρᾷς
and fixed becomes in the mind of-the men not you-see
ὁ προπάτωρ ἡμῶν Ἀβραὰμ ὢν ἐκλεκτός, γῆν ἑαυτὸν καὶ
the forefather our Abraham being chosen earth himself and
σποδὸν ὠνόμαζε; καὶ ὁ Δαβίδ, χρισθεὶς εἰς βασιλέα, Θεὸν
ashes called and — David anointed for king God
εἶχε μεθ' ἑαυτοῦ· καὶ τί λέγει; Σκώληξ εἰμὶ καὶ οὐκ
had with himself and what says-he (a)-worm I-am and not
ἄνθρωπος, ὄνειδος ἀνθρώπων, καὶ ἐξουδένωμα λαῶν.
(a)-man (a)-reproach of-men and (a)-thing-set-at-naught of-peoples
Οἱ οὖν θέλοντες τούτων εἶναι συγκληρονόμοι, καὶ 4
the(-ones) then wishing of-these to-be co-heirs and
συμπολῖται τῆς πόλεως τῆς ἐπουρανίου, καὶ συνδοξασθῆναι
fellow-citizens of-the city the heavenly and to-be-glorified-with
αὐτοῖς, ταύτην ὀφείλουσι τὴν ταπεινοφροσύνην ἔχειν, καὶ μὴ
them this ought the humility to-have and not
οἴεσθαι ἐν ἑαυτοῖς εἶναί τι, ἀλλ' ἔχειν συντετριμμένην τὴν
to-think in themselves to-be something but to-have crushed the
καρδίαν. Εἰ γὰρ καὶ διαφόρως εἰς ἕκαστον τῶν Χριστιανῶν
heart if for even differently in each of-the Christians
ἐνεργεῖ ἡ χάρις καὶ διάφορα ἔχει μέλη· ὅμως δὲ μιᾶς εἰσι
works the grace and various has members nevertheless and of-one are
πόλεως οἱ πάντες, ὁμόψυχοι, ὁμόγλωττοι, ἐπιγινώσκοντες
city the all like-souled of-one-tongue recognizing
ἀλλήλους. Ὥσπερ μέλη πολλά ἐστιν ἐν σώματι, μία δὲ ψυχὴ
one-another as members many are in (a)-body one but soul
ἐν πᾶσιν ἡ κινοῦσα ταῦτα· οὕτως ἓν πνεῦμα ἐνεργεῖ
in all the(-one) moving these thus one spirit works
ἐν πᾶσι διαφόρως, μιᾶς δέ εἰσι πόλεως, μιᾶς ὁδοῦ· πάντες
in all differently of-one and are city of-one way all

γὰρ οἱ δίκαιοι τὴν στενὴν καὶ τεθλιμμένην ὁδὸν διώδευσαν,
for the righteous the narrow and afflicted way traveled
διωκόμενοι, κακουχούμενοι, ὀνειδιζόμενοι, ἐν αἰγείοις δέρμασι
being-persecuted being-ill-treated being-reviled in goat's skins
ζῶντες, ἐν σπηλαίοις, ἐν ταῖς ὀπαῖς τῆς γῆς. Ὁμοίως καὶ
living in caves in the holes of-the earth likewise also
οἱ ἀπόστολοι, ἕως τῆς ἄρτι ὥρας φασί, Καὶ πεινῶμεν,
the apostles until the present hour say and we-hunger
καὶ διψῶμεν, καὶ γυμνητεύομεν, καὶ ὀνειδιζόμεθα, καὶ
and thirst and go-naked and are-reviled and
ἀστατοῦμεν. Ὧν οἱ μὲν ἀπεκεφαλίσθησαν, οἱ δὲ
wander-homeless of-whom the(-ones) indeed were-beheaded the(-ones) and
ἐσταυρώθησαν, ἄλλοι δὲ διαφόρως ἐθλίβησαν· αὐτὸς δὲ ὁ
were-crucified others and differently were-afflicted the-very and the
Δεσπότης προφητῶν τε καὶ ἀποστόλων, ὥσπερ ἐπιλαθόμενος
Master of-prophets both and apostles as having-forgotten
τῆς θεϊκῆς δόξης, πῶς διώδευσε; τύπος ἡμῖν γιγνόμενος,
the divine glory how he-traveled (a)-type for-us becoming
διὰ ὕβρεων στέφανον ἀκάνθινον ἐπὶ τῆς κεφαλῆς
through insults (a)-crown of-thorns on the head
ἐφόρεσεν, ἐμπτύσματα ὑπέστη, ῥαπίσματα, σταυρόν.
he-wore spittings he-underwent blows (the)-cross
5 Εἰ ὁ Θεὸς οὕτως διώδευσεν ἐπὶ τῆς γῆς, ὀφείλεις καὶ σὺ
if — God thus traveled on the earth ought also you
μιμητὴς αὐτοῦ γενέσθαι· καὶ οἱ ἀπόστολοι καὶ οἱ προφῆται
(an)-imitator his to-become and the apostles and the prophets
οὕτως διώδευσαν· καὶ ἡμεῖς, εἰ θέλομεν τῷ θεμελίῳ τοῦ
thus traveled also we if we-wish on-the foundation of-the
Κυρίου καὶ τῶν ἀποστόλων ἐποικοδομηθῆναι, ὀφείλομεν
Lord and of-the apostles to-be-built-up ought
μιμηταὶ αὐτῶν γενέσθαι. Λέγει γὰρ ὁ Ἀπόστολος ἐν
imitators their to-become says for the Apostle in

Πνεύματι ἁγίῳ, Μιμηταί μου γίνεσθε, καθὼς κἀγὼ
Spirit holy imitators my become as I-too
Χριστοῦ. Εἰ δὲ ἀγαπᾷς δόξας ἀνθρώπων, καὶ προσκυνεῖσθαι
of-Christ if but you-love glories of-men and to-be-bowed-down-to
θέλεις, καὶ ἀνάπαυσιν ζητεῖς, ἐξετράπης τῆς ὁδοῦ.
you-wish and rest you-seek you-have-turned-aside from-the way
Χρὴ γάρ σε συσταυρωθῆναι τῷ σταυρωθέντι,
(it)-is-needful for you to-be-crucified-with the(-one) crucified
συμπαθεῖν τῷ παθόντι, ἵνα οὕτως συνδοξασθῇς
to-suffer-with the(-one) having-suffered that thus you-may-be-glorified-with
τῷ δοξασθέντι. Ἀνάγκη γὰρ τὴν νύμφην συμπαθεῖν τῷ
the(-one) glorified necessity for (for)-the bride to-suffer-with the
νυμφίῳ, καὶ οὕτω γενέσθαι κοινωνὸν καὶ συγκληρονόμον
bridegroom and thus to-become partner and co-heir
Χριστοῦ. Οὐκ ἐγχωρεῖ γὰρ ἄνευ παθημάτων, καὶ τῆς
of-Christ not it-is-allowed for without sufferings and the
τραχείας καὶ στενῆς καὶ τεθλιμμένης ὁδοῦ εἰσελθεῖν
rough and narrow and afflicted way to-enter
τινα εἰς τὴν πόλιν τῶν ἁγίων, καὶ ἀναπαῆναι, καὶ
(for)-anyone into the city of-the saints and to-rest and
συμβασιλεῦσαι τῷ βασιλεῖ εἰς τοὺς ἀπεράντους αἰῶνας.
to-reign-with the king for the boundless ages
Ἐρώτησις. Ἐπειδὴ ὅτι καὶ τὴν ἰδίαν εἰκόνα καὶ τὴν 6
question since that both the own image and the
ἐπουράνιον ἀπώλεσεν ὁ Ἀδάμ, οὐκοῦν εἰ ἐκοινώνησε τῇ
heavenly lost — Adam then if he-shared in-the
εἰκόνι τῇ ἐπουρανίῳ, εἶχε Πνεῦμα ἅγιον;
image the heavenly did-he-have (the)-Spirit holy
Ἀπόκρισις. Ἕως ὅτε ὁ Λόγος τοῦ Θεοῦ συνῆν αὐτῷ, καὶ
answer until when the Word — of-God was-with him and
ἡ ἐντολή, εἶχε πάντα· αὐτὸς γὰρ ὁ Λόγος ἦν αὐτῷ
the commandment he-had all(-things) the-very for the Word was to-him

κληρονομία, αὐτὸς ἔνδυμα καὶ δόξα σκέπουσα αὐτόν,
inheritance he garment and glory covering him
αὐτὸς διδασκαλία. Ὑπετίθετο γὰρ αὐτῷ καλέσαι πάντα,
he teaching suggested for to-him to-name all(-things)
τοῦτο εἶπε οὐρανόν, τοῦτο ἥλιον, τοῦτο σελήνην, τοῦτο
this he-said heaven this sun this moon this
γῆν, τοῦτο πτηνόν, τοῦτο θηρίον, τοῦτο δένδρον, καθὼς
earth this bird this beast this tree as
ἐδιδάσκετο, οὕτως καὶ ἔλεγεν.
he-was-taught thus also he-spoke

7 Ἐρώτησις. Αἴσθησιν εἶχε καὶ κοινωνίαν τοῦ Πνεύματος;
question perception had-he and communion of-the Spirit
Ἀπόκρισις. Αὐτὸς ὁ Λόγος συνών, πάντα ἦν αὐτῷ,
answer the-very the Word being-with(-him) all(-things) was to-him
εἴτε γνῶσις, εἴτε κληρονομία, εἴτε διδασκαλία. Καὶ Ἰωάννης
whether knowledge or inheritance or teaching and John
τί λέγει περὶ τοῦ Λόγου; Ἐν ἀρχῇ ἦν ὁ Λόγος· ὁρᾷς
what says-he about the Word in (the)-beginning was the Word you-see
ὅτι ὁ Λόγος πάντα ἦν. Εἰ δὲ καὶ ἔξωθεν συνῆν αὐτῷ δόξα,
that the Word all(-things) was if and also outwardly was-with him glory
οὐ σκανδαλιζώμεθα ἐπὶ τούτῳ, καὶ γὰρ λέγει ὅτι γυμνοὶ
not let-us-be-scandalized at this and for it-says that naked
ἦσαν, καὶ οὐκ ἔβλεπον ἀλλήλους, καὶ μετὰ τὸ παραβῆναι
they-were and not they-saw one-another and after the to-transgress
τὴν ἐντολήν, τότε εἶδον αὐτοὺς γυμνούς, καὶ ᾐσχύνθησαν.
the commandment then they-saw themselves naked and were-ashamed

8 Ἐρώτησις. Οὐκοῦν πρὸ τούτου ἦσαν ἀντὶ περιβολαίου
question then before this were-they instead-of (a)-covering
ἐνδεδυμένοι δόξαν Θεοῦ;
clothed (with)-(the)-glory of-God

Ἀπόκρισις. Ὡς ἐπὶ τῶν προφητῶν ἐνήργει τὸ Πνεῦμα
answer as in-the-case-of the prophets worked the Spirit
καὶ ἐδίδασκεν αὐτούς, καὶ ἔσωθεν αὐτῶν ἦν, καὶ ἔξωθεν
and taught them and within them was and outwardly
αὐτοῖς παρεφαίνετο· οὕτω καὶ εἰς τὸν Ἀδὰμ ὅτε ἤθελε τὸ
to-them appeared thus also in — Adam when it-wished the
Πνεῦμα σὺν αὐτῷ ἦν, καὶ ἐδίδασκε καὶ ὑπετίθετο, Οὕτως
Spirit with him was and taught and suggested thus
εἰπὲ καὶ λέγε. Πάντα γὰρ ἦν ὁ Λόγος αὐτῷ, καὶ ἕως ὅτε
say and speak all(-things) for was the Word to-him and until when
ἐνέμενε τῇ ἐντολῇ, φίλος ἦν Θεοῦ. Καὶ τί θαυμαστόν,
he-abode-in the commandment (a)-friend he-was of-God and what (is)-wonderful
εἰ ἐν τούτοις ὤν, παρέβη τὴν ἐντολήν; ὁπότε καὶ οἱ
if in these being he-transgressed the commandment when even the(-ones)
πεπληρωμένοι Πνεύματος ἁγίου, ἔχουσι τοὺς φυσικοὺς
filled with-Spirit holy have the natural
λογισμούς, καὶ ἔχουσι θέλημα τοῦ συμφωνῆσαι; Οὕτως
thoughts and have (the)-will of-the to-consent thus
καὶ αὐτὸς συνὼν τῷ Θεῷ ἐν παραδείσῳ, ἀφ' ἑαυτοῦ ἰδίῳ
also he being-with — God in paradise of himself by-own
θελήματι παρέβη, καὶ ὑπήκουσε μέρει πονηρῷ· πλὴν καὶ
will transgressed and obeyed (the)-part evil but also
μετὰ τὴν παράβασιν ἔσχε γνῶσιν.
after the transgression he-had knowledge

Ἐρώτησις. Ὁποίαν; 9
question what-kind

Ἀπόκρισις. Ὥσπερ ὅταν συλληφθῇ λῃστὴς εἰς δικαστήριον,
answer as when is-arrested (a)-robber to (the)-court
καὶ ἄρχεται κρίνεσθαι, λέγει αὐτῷ ὁ ἄρχων, Ὅτε ἐποίεις
and begins to-be-judged says to-him the ruler when you-were-doing
τὰ κακά, οὐκ ᾔδεις, ὅτι συλληφθῆναι ἔχεις καὶ
the evil(-things) not did-you-know that to-be-arrested you-have and

ἀποθανεῖν; Ἐκεῖνος οὐ τολμᾷ εἰπεῖν ὅτι Οὐκ ᾔδειν· οἶδε
to-die that(-one) not dares to-say that not I-knew he-knows
γάρ, καὶ τιμωρούμενος, πάντα μνημονεύων ἐξομολογεῖται.
for and being-punished all(-things) remembering he-confesses
Καὶ ὁ πορνεύων οὐκ οἶδεν ὅτι κακῶς ποιεῖ; καὶ
and the(-one) fornicating not does-he-know that wrongly he-does and
ὁ κλέπτων, οὐκ οἶδεν ὅτι ἁμαρτάνει; οὕτως καὶ
the(-one) stealing not does-he-know that he-sins thus also
ἄνευ Γραφῶν, οἱ ἄνθρωποι ἀπὸ τοῦ φυσικοῦ λογισμοῦ, οὐκ
without Scriptures the men from the natural thought not
οἴδασιν ὅτι Θεός ἐστιν; οὐ δύνανται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ
do-they-know that God there-is not they-can in the day that
εἰπεῖν, Οὐκ ᾔδειμεν ὅτι Θεὸς εἶ. Λέγει γὰρ αὐτοῖς τὰς
to-say not we-knew that God you-are it-says for to-them the
γιγνομένας ἐκ τοῦ οὐρανοῦ βροντάς, καὶ ἀστραπάς, οὐκ
happening from the heaven thunders and lightnings not
οἴδατε ὅτι ἐστὶ Θεὸς διοικῶν τὴν κτίσιν; Τί οὖν ἔκραζον
do-you-know that there-is God governing the creation why then cried
οἱ δαίμονες· Σὺ εἶ ὁ Υἱὸς Θεοῦ, τί πρὸ καιροῦ ἦλθες
the demons you are the Son of-God why before (the)-time did-you-come
βασανίσαι ἡμᾶς; Καὶ ἔτι ἐν τοῖς μαρτυρίοις λέγουσι, Καίεις
to-torment us and yet in the martyrdoms they-say you-burn
με, καίεις με. Οὐκ ᾔδεισαν οὖν τὸ ξύλον τῆς γνώσεως τοῦ
me you-burn me not they-knew then the tree of-the knowledge of-the
καλοῦ καὶ κακοῦ, ἡ παράβασις τοῦ Ἀδὰμ τὴν γνῶσιν ἔδωκεν.
good and evil the transgression — of-Adam the knowledge gave
10 Ἕκαστος γὰρ ἄρχεται ἐπερωτᾶν, ὡς ἐν τίνι ἦν ὁ Ἀδάμ, καὶ
each for begins to-ask as in what was — Adam and
τί ἔπραξεν; Αὐτὸς γὰρ ὁ Ἀδὰμ τὴν γνῶσιν ἐδέξατο καλοῦ
what he-did the-very for — Adam the knowledge received of-good
τε καὶ κακοῦ. Λοιπὸν ἀκούομεν ἐκ τῶν Γραφῶν, ὅτι ἐν
both and evil henceforth we-hear from the Scriptures that in

τιμῇ καὶ ἐν καθαρότητι ἦν· καὶ παραβὰς τὴν ἐντολὴν
honor and in purity he-was and having-transgressed the commandment
ἐξεβλήθη τοῦ παραδείσου, καὶ ὠργίσθη αὐτῷ ὁ Θεός. Λοιπὸν
was-cast-out of-the paradise and was-angry with-him — God henceforth
καὶ τὰ καλὰ αὐτοῦ μανθάνει, καὶ τὰ κακὰ μαθὼν
both the good(-things) his he-learns and the evil(-things) having-learned
ἀσφαλίζεται ἑαυτόν, ἵνα μηκέτι ἁμαρτήσας ἐμπέσῃ εἰς κρῖμα
secures himself that no-longer having-sinned he-fall into judgment
θανάτου. Γινώσκομεν δέ, ὅτι πᾶσα ἡ κτίσις τοῦ Θεοῦ δι᾽
of-death we-know and that all the creation — of-God through
αὐτοῦ οἰκονομεῖται. Αὐτὸς γὰρ ἐποίησεν οὐρανόν, γῆν, ζῶα,
him is-ordered he for made heaven earth animals
ἑρπετά, θηρία, ἃ βλέπομεν, τὸν δὲ ἀριθμὸν ἀγνοοῦμεν.
reptiles beasts which we-see the but number we-do-not-know
Τίς γὰρ ἀνθρώπων οἶδεν, εἰ μὴ μόνον ὁ Θεὸς ὁ ὢν ἐν
who for of-men knows(-it) if not only — God the(-one) being in
πᾶσι, καὶ τοῖς ἐμβρύοις δὲ τῶν ζώων; Οὐχὶ αὐτὸς ἐπίσταται
all and the embryos too of-the animals not he-himself knows
τὰ ὄντα ὑποκάτω τῆς γῆς, καὶ ἐπάνω τῶν οὐρανῶν·
the(-things) being beneath the earth and above the heavens
Παραλιπόντες οὖν ταῦτα, μᾶλλον ζητήσωμεν, ὡς καλοὶ 11
having-left then these(-things) rather let-us-seek as good
ἔμποροι, κληρονομίαν κτήσασθαι ἐπουράνιον, καὶ τὰ
merchants (an)-inheritance to-acquire heavenly and the(-things)
συμφέροντα ταῖς ψυχαῖς ἡμῶν· μάθωμεν κτήσασθαι
profitable to-the souls our let-us-learn to-acquire
κτήματα ἅπερ συμπαραμένει ἡμῖν. Ἐὰν γὰρ ἄρξῃ
possessions which remain-with us if for begins
ἄνθρωπος ὢν ἐρευνᾶν τὸν λογισμὸν τοῦ Θεοῦ, καὶ λέγειν,
(a)-man being to-search-out the thought — of-God and to-say
εὗρόν τι καὶ κατέλαβον, εὑρεθήσεται ὁ ἀνθρώπινος
I-found something and I-grasped(-it) will-be-found the human

νοῦς ὑπερβαίνων τὸν λογισμὸν τοῦ Θεοῦ. Ἐν τούτῳ δὲ
mind overreaching the thought — of-God in this and
πολὺ πλανᾷ· καὶ ὅσον θέλεις διὰ γνώσεως ἐρευνῆσαι
much it-strays and as-much-as you-wish through knowledge to-search
καὶ εἰσελθεῖν, χωρεῖς εἰς βάθος, καὶ οὐδὲν καταλαμβάνεις·
and to-enter you-go into (the)-depth and nothing you-grasp
αὐτὰς γὰρ τὰς ἐπισκέψεις τὰς γιγνομένας σοι, τί
the-very for the visitations the(-ones) happening to-you what
ἐργάζεται καθ' ἡμέραν ἐν σοί, καὶ πῶς, ἄῤῥητά ἐστι, καὶ
it-works each day in you and how unspeakable they-are and
ἀκατάληπτα, ἢ μόνον δέξασθαι μετὰ εὐχαριστίας καὶ
incomprehensible or only to-receive(-them) with thanksgiving and
πιστεύειν. Τὴν γὰρ σὴν ψυχὴν ἐξ οὗ ἐγεννήθης καὶ ἕως
to-believe the for your soul from when you-were-born and until
ἄρτι, ἠδυνήθης γνωρίσαι; ἐπεὶ ἐπάγγειλόν μοι ἀπὸ πρωΐ
now could-you to-know else announce to-me from morning
καὶ ἕως ὀψὲ τοὺς βρύοντας ἐν σοὶ λογισμούς. Εἰπέ μοι
and until evening the gushing in you thoughts tell me
τὰς ἐνθυμήσεις τριῶν ἡμερῶν· ἀλλ' οὐ δύνασαι. Εἰ οὖν
the reflections of-three days but not you-can if then
τοὺς λογισμοὺς τῆς ψυχῆς σου καταλαβεῖν οὐκ ἠδυνήθης,
the thoughts of-the soul your to-grasp not you-could
τοὺς λογισμοὺς τοῦ Θεοῦ καὶ τὸν νοῦν πῶς δύνασαι εὑρεῖν;
the thoughts — of-God and the mind how can-you to-find
12 Ἀλλὰ σὺ ὅσον εὑρίσκεις ἄρτον φάγε, καὶ ἄφες ὅλην τὴν
but you as-much-as you-find bread eat and leave whole the
γῆν καὶ ἄπελθε εἰς τὸ χεῖλος τοῦ ποταμοῦ, καὶ πίε ὅσον
earth and go-off to the lip of-the river and drink as-much-as
χρείαν ἔχεις, καὶ πάρελθε, καὶ μὴ ζητήσῃς πόθεν ἔρχεται,
need you-have and pass-on and not seek whence it-comes
ἢ πῶς ῥέει. Σπούδασον θεραπευθῆναι τὸν πόδα, ἢ τὸν
or how it-flows be-eager to-be-healed (as-to)-the foot or the

πόνον τοῦ ὀφθαλμοῦ σου, ἵνα ἴδῃς τὸ φῶς τοῦ ἡλίου.
pain of-the eye your that you-may-see the light of-the sun
Μὴ ζητήσῃς δὲ πόσον ἔχει φῶς ὁ ἥλιος πόσον ἀνατέλλει
not seek and how-much has light the sun how-much rises
ζῶον. Ὃ προσχωρεῖ σοι εἰς χρῆσιν, λάβε. Καὶ τί ἀπέρχῃ
sign what comes to-you for use take and why do-you-go-off
εἰς ὄρη, καὶ ζητεῖς πόσοι ἐκεῖ νέμονται ὄναγροι ἢ θηρία;
to mountains and seek how-many there graze wild-asses or beasts
καὶ τὸ παιδίον ὅτε προσέρχεται τῷ μαζῷ τῆς μητρός,
and the child when it-comes to-the breast of-the mother
λαμβάνει τὸ γάλα καὶ τρέφεται. Οὐκ οἶδεν δὲ ἐρευνᾶν
takes the milk and is-fed not knows-how but to-search-out
τὴν ῥίζαν ἢ τὴν πηγὴν πόθεν οὕτως ἐπιῤῥέει· θηλάζει γὰρ
the root or the spring whence thus it-flows-in it-sucks for
τὸ γάλα, καὶ τὸν ὀρὸν ὅλον ἀποκενοῖ· καὶ πάλιν ἄλλην
the milk and the whey whole empties and again (at)-another
ὥραν μεστοῦται ὁ μαζός· τοῦτο οὔτε τὸ παιδίον οἶδεν,
hour is-filled the breast this neither the child knows
οὔτε ἡ μήτηρ αὐτοῦ, εἰ καὶ τὰ μάλιστα ἀπὸ ὅλων τῶν
nor the mother his if even the most from whole the
μελῶν τῆς μητρὸς ἐξέρχεται τὸ γάλα. Εἰ ζητεῖς οὖν τὸν
members of-the mother comes-forth the milk if you-seek then the
Κύριον εἰς βάθος, ἐκεῖ εὑρίσκεις αὐτὸν ποιοῦντα σημεῖα. Εἰ
Lord in (the)-depth there you-find him doing signs if
ζητεῖς αὐτὸν ἐν λάκκῳ, ἐκεῖ εὑρίσκεις αὐτὸν ἐν μέσῳ δύο
you-seek him in (a)-pit there you-find him in (the)-midst of-two
λεόντων φυλάσσοντα τὸν δίκαιον Δανιήλ. Εἰ ζητεῖς αὐτὸν
lions guarding the righteous Daniel if you-seek him
εἰς πῦρ, ἐκεῖ εὑρίσκεις αὐτὸν βοηθοῦντα τοῖς δούλοις αὐτοῦ.
in fire there you-find him helping the servants his
Εἰ ζητεῖς αὐτὸν ἐν ὄρει, ἐκεῖ εὑρίσκεις αὐτὸν μετὰ τοῦ
if you-seek him on (a)-mountain there you-find him with —

Ἠλία καὶ Μωσέως. Πανταχοῦ οὖν ἐστι, καὶ ὑποκάτω τῆς
Elijah and Moses everywhere then he-is and beneath the
γῆς, καὶ ὑπεράνω τῶν οὐρανῶν, εἴτε ἐν ἡμῖν, πανταχοῦ
earth and above the heavens or in us everywhere
ἐστιν. Οὕτως καὶ ἡ ψυχὴ ἐγγύς σού ἐστι, καὶ ἔσωθέν σού
he-is thus also the soul near you is and within you
ἐστι, καὶ ἔξωθέν σού ἐστιν. Ὅπου γὰρ θέλεις, εἰς μακρὰς
is and without you is where for you-wish into distant
πατρίδας, ἐκεῖ ἐστιν ὁ νοῦς σου, εἴτε ἐπὶ δυσμάς, εἴτε
fatherlands there is the mind your whether to (the)-west or
ἐπὶ ἀνατολάς, εἴτε εἰς τοὺς οὐρανοὺς ἐκεῖ εὑρίσκεται.
to (the)-east or into the heavens there it-is-found

13 Ζητήσωμεν οὖν προηγουμένως τὸν καυτῆρα τοῦ Κυρίου
let-us-seek then before-all the brand of-the Lord
καὶ τὴν σφραγῖδα ἐν ἑαυτοῖς ἔχειν· ὅτι ἐν τῷ καιρῷ
and the seal in ourselves to-have because in the time
τῆς κρίσεως, γινομένης τῆς ἀποτομίας τοῦ Θεοῦ, καὶ
of-the judgment happening the severity — of-God and
συναγομένων ὅλων τῶν φυλῶν τῆς γῆς ὅλου τοῦ Ἀδάμ,
being-gathered all the tribes of-the earth of-whole — Adam
ὅταν καλέσῃ ὁ ποιμὴν τὴν ἰδίαν ποίμνην, ὅσοι ἔχουσι
when calls the shepherd the own flock as-many-as have
τὸν καυτῆρα, ἐπιγινώσκουσι τὸν ἴδιον ποιμένα, καὶ ὁ
the brand recognize the own shepherd and the
ποιμὴν τοὺς ἔχοντας τὴν ἰδίαν σφραγῖδα γνωρίζει, καὶ
shepherd the(-ones) having the own seal knows and
ἐπισυνάγει ἀπὸ πάντων τῶν ἐθνῶν. Τῆς φωνῆς γὰρ
gathers from all the nations the voice for
αὐτοῦ ἀκούουσιν οἱ ἴδιοι, καὶ ὑπάγουσιν ὀπίσω αὐτοῦ.
his hear the own(-sheep) and go after him
Εἰς δύο γὰρ μέρη ἵσταται ὁ κόσμος, καὶ γίγνεται μία
into two for parts stands the world and becomes one

ποίμνη σκοτεινή, ἡ χωροῦσα εἰς πῦρ αἰώνιον. Καὶ μία
flock dark the(-one) going into fire eternal and one
πλήρης φωτός, ἡ πρὸς τὴν οὐράνιον λῆξιν ἀναγομένη·
full of-light the(-one) to the heavenly lot being-led-up
αὐτὸ οὖν ὃ νῦν κτώμεθα ἐν ταῖς ψυχαῖς, αὐτὸ ἐκεῖνο
itself then which now we-acquire in the souls itself that
λάμπει καὶ φανεροῦται, καὶ τὰ σώματα ἐνδύει δόξαν.
shines and is-manifested and the bodies clothes (with)-glory
Ὥσπερ ἐν τῷ καιρῷ τοῦ Ξανθικοῦ μηνὸς αἱ ῥίζαι 14
as in the time of-the Xanthicus month the roots
κεχωσμέναι ἐν τῇ γῇ, τοὺς ἰδίους καρπούς, καὶ τὰ ἴδια
buried in the earth the own fruits and the own
ἄνθη καὶ κάλλη ἐκβλαστάνουσι, καὶ καρποφοροῦσι, καὶ
flowers and beauties sprout-forth and bear-fruit and
φανεροῦνται αἱ καλαὶ ῥίζαι, καὶ αἱ τὰς ἀκάνθας ἔχουσαι
are-made-manifest the good roots and the(-ones) the thorns having
φαναὶ γίνονται οὕτως ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἕκαστος
manifest become thus in that the day each
διὰ τοῦ ἰδίου σώματος, ἅπερ ἔπραξεν, ἐμφανίζει, καὶ
through the own body what he-did displays and
φανεροῦται τά τε καλὰ καὶ τὰ κακά. Ἐκεῖ γάρ
are-manifested the(-things) both good and the(-things) evil there for
ἐστι πᾶσα ἡ κρίσις καὶ ἡ ἀνταπόδοσις. Ἔστι γὰρ ἄλλη
is all the judgment and the recompense there-is for another
τροφὴ παρὰ ταύτην τὴν φαινομένην· καὶ γὰρ Μωϋσῆς ὅτε
food beside this the visible(-food) and for Moses when
ἀνῆλθεν εἰς τὸ ὄρος, ἡμέρας τεσσαράκοντα ἐνήστευσεν.
he-went-up on the mountain days forty fasted
Ἀνῆλθεν ἄνθρωπος, κατῆλθε Θεὸν ἔχων. Καὶ ἴδε βλέπομεν
went-up (a)-man came-down God having and see we-see
ἐν ἡμῖν, ὅτι ἐν ὀλίγαις ἡμέραις, ἐὰν μὴ ὑποστηριχθῇ τὸ
in ourselves that in few days unless — be-supported the

σῶμα βρώμασι, φθείρεται. Καὶ αὐτὸς ἐν τεσσαράκοντα
body with-foods it-is-corrupted and he in forty
ἡμέραις νηστεύσας, πλεῖον ὅλων ἐνδυναμώτερος κατῆλθεν.
days having-fasted more than-all stronger came-down
Ἐτρέφετο γὰρ ὑπὸ τοῦ Θεοῦ, καὶ ᾠκονομεῖτο αὐτοῦ τὸ
he-was-fed for by — God and was-ordered his the
σῶμα ἄλλῃ τροφῇ ἐπουρανίῳ. Ὁ γὰρ λόγος τοῦ Θεοῦ
body by-another food heavenly the for word — of-God
τροφὴ αὐτῷ ἐγίγνετο, καὶ εἶχε δόξαν εἰς τὸ πρόσωπον·
food to-him became and he-had glory on the face
τὸ γενόμενον, τύπος ἦν· ἐκείνη γὰρ ἡ δόξα νῦν ἔσωθεν
the(-thing) having-happened (a)-type was that for the glory now within
εἰς τὰς καρδίας τῶν Χριστιανῶν λάμπει. Ἀνιστάμενα γὰρ
in the hearts of-the Christians shines rising for
τὰ σώματα ἐν τῇ ἀναστάσει ἄλλῳ ἐνδύματι θεϊκῷ
the bodies in the resurrection with-another garment divine
σκεπάζονται, καὶ βρώσει ἐπουρανίῳ τρέφονται.
are-covered and with-food heavenly are-fed
15 Ἐρώτησις. Τί ἐστι, γυνὴ ἀκατακαλύπτῳ κεφαλῇ
question what is (a)-woman with-uncovered head
προσευχομένη;
praying
Ἀπόκρισις. Ἐπειδὴ ἐν τῷ καιρῷ τῶν ἀποστόλων ἀφιεμένας
answer since in the time of-the apostles let-loose
εἶχον τὰς τρίχας ἀντὶ σκεπάσματος· διὰ τοῦτο
they-had the hair instead-of (a)-covering because-of this
ὁ Κύριος καὶ οἱ ἀπόστολοι ἦλθον εἰς τὴν κτίσιν καὶ
the Lord and the apostles came to the creation and
ἐσωφρόνησαν αὐτήν. Πλὴν ἡ γυνὴ κεῖται εἰς τύπον τῆς
brought-to-soberness it but the woman lies for (a)-type of-the
Ἐκκλησίας· καὶ ὥσπερ εἰς τὸ φαινόμενον ἐν ἐκείνῳ τῷ
Church and as in the visible in that the

καιρῷ ἐκεῖναι εἶχον ἐξηπλωμένας τὰς τρίχας ἀντὶ
time those(-women) had spread-out the hair instead-of
σκεπάσματος· οὕτω καὶ ἡ Ἐκκλησία τὰ τέκνα αὐτῆς
(a)-covering thus also the Church the children her
ἐνδύει καὶ περιβάλλει ἐνδύμασι θεϊκοῖς καὶ δεδοξασμένοις.
clothes and wraps with-garments divine and glorified
Καὶ εἰς τὸ παλαιὸν δὲ τῆς Ἐκκλησίας Ἰσραήλ, μία ἦν ἡ
and in the old too of-the Church Israel one was the
συναγωγή, καὶ ἐσκέπετο ὑπὸ τοῦ Πνεύματος, καὶ ἦσαν
synagogue and it-was-covered by the Spirit and they-were
ἀντὶ δόξης περιβεβλημένοι τὸ Πνεῦμα, εἰ καὶ αὐτοὶ οὐκ
instead-of glory wrapped-in the Spirit if even they not
ἐστοίχησαν. Ἐκκλησία οὖν λέγεται καὶ ἐπὶ πολλῶν, καὶ
walked-in-line (the)-Church then is-called both of many and
ἐπὶ μιᾶς ψυχῆς· αὐτὴ γὰρ ἡ ψυχὴ συνάγει ὅλους τοὺς
of one soul the-very for the soul gathers all the
λογισμούς, καὶ ἔστιν Ἐκκλησία τῷ Θεῷ. Ἡρμόσθη γὰρ εἰς
thoughts and is (a)-Church — to-God was-joined for in
κοινωνίαν ἡ ψυχὴ τῷ ἐπουρανίῳ νυμφίῳ, καὶ κιρνᾶται
communion the soul to-the heavenly bridegroom and is-mingled
τῷ ἐπουρανίῳ, τοῦτο δὲ καὶ ἐπὶ πολλῶν νοεῖται,
with-the heavenly this and both of many is-understood
καὶ ἐπὶ ἑνός. Καὶ γὰρ ὁ προφήτης λέγει περὶ τῆς
and of one and for the prophet says about —
Ἱερουσαλήμ, Εὗρόν σε ἔρημον καὶ γυμνήν, καὶ ἐνέδυσά
Jerusalem I-found you desolate and naked and clothed
σε, καὶ τὰ ἑξῆς, ὡς ἐπὶ τοῦ ἑνὸς προσώπου εἶπεν.
you and the(-words) following as of the one person he-said

16 Ἐρώτησις. Τί ἐστιν ὃ ἡ Μάρθα εἶπε τῷ Κυρίῳ
question what is (that)-which — Martha said to-the Lord
περὶ τῆς Μαρίας, ὅτι Ἐγὼ κάμνω εἰς πολλά, καὶ αὕτη
about — Mary that I toil at many(-things) and she
παρακαθέζεταί σοι;
sits-beside you
Ἀπόκρισις. Ὃ ὤφειλεν εἰπεῖν ἡ Μαρία τῇ Μάρθᾳ, ὁ
answer what ought to-have-said — Mary — to-Martha the
Κύριος προλαβὼν εἶπεν αὐτῇ, ὅτι πάντα ἀφῆκεν ἐκείνη,
Lord anticipating said to-her that all(-things) left that(-one)
καὶ παρὰ τοὺς πόδας ἐκάθητο τοῦ Κυρίου, καὶ τὸν Θεὸν
and by the feet sat of-the Lord and — God
εὐλόγει ὅλην τὴν ἡμέραν. Ὁρᾷς προσεδρείαν ὑπὲρ
blessed whole the day you-see (the)-sitting-beside for-the-sake-of
ἀγάπης. Ἵνα δὲ σαφέστερον ὁ λόγος τοῦ Θεοῦ φωτισθῇ,
love that and more-clearly the word — of-God be-illumined
ἄκουσον. Εἴ τις ἀγαπᾷ τὸν Ἰησοῦν, καὶ προσέχει αὐτῷ
hear if someone loves — Jesus and attends to-him
ὀρθῶς καὶ οὐχ ἁπλῶς προσέχει, ἀλλὰ καὶ παραμένει ἐν τῇ
rightly and not simply attends but also abides in the
ἀγάπῃ, ἤδη καὶ ὁ Θεὸς λογίζεται ἀντὶ τῆς ἀγάπης
love already also — God reckons in-return-for the love
ἐκείνης δοῦναί τι ἐκείνῃ τῇ ψυχῇ, εἰ καὶ ὁ ἄνθρωπος
that to-give something to-that the soul if even the man
οὐκ οἶδε τί μέλλει λαμβάνειν, ἢ ποῖον μέρος μέλλει
not knows what he-is-about to-receive or what-kind portion is-about
ὁ Θεὸς διδόναι τῇ ψυχῇ. Καὶ τῇ Μαρίᾳ γὰρ ἀγαπώσῃ
— God to-give to-the soul and — to-Mary for loving
αὐτόν, καὶ παρακαθεζομένῃ παρὰ τοὺς πόδας αὐτοῦ, οὐχ
him and sitting-beside at the feet his not
ἁπλῶς προσετέθη, ἀλλὰ δύναμίν τινα κρυφιμαίαν ἐκ τῆς
simply it-was-added but power some hidden from the

αὐτοῦ οὐσίας ἔδωκεν αὐτῇ. Αὐτοὶ γὰρ οἱ λόγοι, οὓς ἐλάλει
his-own substance he-gave her the-very for the words which spoke
ὁ Θεὸς μετὰ εἰρήνης τῇ Μαρίᾳ, πνεύματα ἦσαν καὶ δύναμίς
— God with peace — to-Mary spirits were and power
τις· καὶ οὗτοι οἱ λόγοι εἰσερχόμενοι εἰς τὴν καρδίαν,
some and these the words entering into the heart
ψυχὴ εἰς ψυχήν, καὶ πνεῦμα εἰς πνεῦμα, καὶ δύναμις
soul into soul and spirit into spirit and power
θεϊκὴ ἐπληροῦτο εἰς τὴν καρδίαν αὐτῆς. Ἐξ ἀνάγκης γὰρ
divine was-filled in the heart her of necessity for
ἐκείνη ἡ δύναμις, ὅπου καταλύσει παράμονος γίγνεται, ὡς
that the power where it-lodges abiding becomes as
κτῆμα ἀναφαίρετον. Διὰ τοῦτο ὁ Κύριος εἰδὼς τί
(a)-possession inalienable because-of this the Lord knowing what
ἔδωκεν αὐτῇ, εἶπε, Μαρία τὴν καλὴν μερίδα ἐξελέξατο.
he-gave her said Mary the good portion has-chosen
Μετὰ δὲ καιρὸν ἐκεῖνα ἃ ἐποίει προθύμως περὶ τὴν
after and (a)-time those(-things) which did eagerly about the
διακονίαν ἡ Μάρθα, ἤνεγκεν αὐτὴν εἰς τὸ χάρισμα ἐκεῖνο.
service — Martha brought her to the gift that
Καὶ αὐτὴ γὰρ ἐδέξατο δύναμιν θεϊκὴν τῇ ψυχῇ αὐτῆς.
and she for received power divine in-the soul her
Καὶ τί θαυμαστόν, εἰ οἱ προσερχόμενοι τῷ Κυρίῳ, 17
and what (is)-wonderful if the(-ones) coming to-the Lord
καὶ προσκολλώμενοι σωματικῶς ἐλάμβανον δύναμιν, ὁπότε
and cleaving bodily received power when
οἱ ἀπόστολοι ἐλάλουν λόγον, καὶ ἔπιπτεν ἐπὶ τοὺς
the apostles spoke (the)-word and fell upon the(-ones)
πιστεύοντας τὸ Πνεῦμα τὸ ἅγιον; ὁ Κορνήλιος ἐκ τοῦ
believing the Spirit the holy — Cornelius from the
λόγου οὗ ἤκουσεν ἔλαβεν δύναμιν· πόσῳ μᾶλλον ὁ
word which he-heard received power how-much more the

Κύριος ὅτε ἐλάλει λόγον τῇ Μαρίᾳ, ἢ τῷ Ζακχαίῳ, ἢ
Lord when he-spoke (a)-word — to-Mary or — to-Zacchaeus or
τῇ ἁμαρτωλῷ, ἥτις λιπάνασα τὰς τρίχας, ἀπέμασσε τοὺς
to-the sinful(-woman) who having-oiled the hair wiped the
πόδας τοῦ Κυρίου· ἢ τῇ Σαμαρίτιδι, ἢ τῷ λῃστῇ,
feet of-the Lord or to-the Samaritan(-woman) or to-the robber
ἐγίγνετο δύναμις, καὶ συνεκεράσθη ταῖς ψυχαῖς αὐτῶν τὸ
there-came power and was-mingled-with the souls their the
Πνεῦμα τὸ ἅγιον. Καὶ νῦν οἱ ἀγαπῶντες τὸν Θεόν, καὶ
Spirit the holy and now the(-ones) loving — God and
καταλιμπάνοντες πάντα, καὶ τῇ εὐχῇ προσκαρτεροῦντες,
abandoning all(-things) and in-the prayer persevering
διδάσκονται ἐν κρυπτῷ, ἃ οὐκ οἴδασιν· αὐτὴ γὰρ ἡ
are-taught in secret what not they-know the-very for the
ἀλήθεια κατὰ τὴν προαίρεσιν αὐτῶν φανεροῦται αὐτοῖς,
truth according-to the choice their is-manifested to-them
καὶ διδάσκει αὐτούς, ὅτι Ἐγώ εἰμι ἡ ἀλήθεια. Καὶ
and teaches them that I am the truth and
αὐτοὶ γὰρ οἱ ἀπόστολοι πρὸ τοῦ σταυροῦ παραμένοντες
the-very for the apostles before the cross abiding
τῷ Κυρίῳ, ἔβλεπον σημεῖα μεγάλα, ὅπως τε λεπροὶ
with-the Lord saw signs great how both lepers
ἐκαθαρίζοντο, καὶ νεκροὶ ἠγείροντο. Καὶ οὐκ ᾔδεισαν πῶς
were-cleansed and dead were-raised and not they-knew how
ἀναστρέφεται θεία δύναμις καὶ διακονεῖ ἐν καρδίᾳ, καὶ ὅτι
lives divine power and ministers in (the)-heart and that
ἤμελλον πνευματικῶς ἀναγεννᾶσθαι, καὶ συγκιρνᾶσθαι
they-were-about spiritually to-be-reborn and to-be-mingled
τῇ ἐπουρανίῳ ψυχῇ, καὶ γίγνεσθαι καινὴ κτίσις, διὰ τὰ
with-the heavenly soul and to-become (a)-new creation because-of the
σημεῖα ἃ ἐποίει, ἠγάπων τὸν Κύριον. Λοιπὸν ὁ Κύριος
signs which he-did they-loved the Lord henceforth the Lord

ἔλεγεν αὐτοῖς, Τί θαυμάζετε τὰ σημεῖα, κληρονομίαν
said to-them why do-you-marvel-at the signs (an)-inheritance
μεγάλην δίδωμι ὑμῖν, ἣν οὐκ ἔχει ὁ κόσμος ὅλος.
great I-give to-you which not has the world whole
Λοιπὸν αὐτοὶ ἐξενίζοντο εἰς τοὺς λόγους αὐτοῦ, ἕως ὅτου 18
henceforth they were-amazed at the words his until —
ἀνέστη ἐκ νεκρῶν, καὶ ἀνήνεγκε τὸ σῶμα ὑπὲρ ἡμῶν,
he-rose from (the)-dead and carried-up the body for us
ὑπεράνω τῶν οὐρανῶν· καὶ τότε εἰσῆλθε καὶ συνεκεράσθη
above the heavens and then entered and was-mingled
ἐν ταῖς ψυχαῖς αὐτῶν τὸ Πνεῦμα τὸ παράκλητον. Καὶ αὐτὴ
in the souls their the Spirit the paraclete and the-very
ἡ ἀλήθεια φανεροῖ ἑαυτὴν εἰς τὰς ψυχὰς τὰς πιστάς· καὶ
the truth manifests itself in the souls the faithful(-ones) and
ἔρχεται ὁ ἐπουράνιος ἄνθρωπος μετὰ τοῦ ἀνθρώπου σου,
comes the heavenly man with the man your
καὶ γίγνεται εἰς μίαν κοινωνίαν. Ὅσοι οὖν εἰσιν εἰς διακονίαν,
and it-becomes into one communion as-many then as-are in service
καὶ προθύμως πάντα ποιοῦσι διὰ ζῆλον, καὶ πίστιν, καὶ
and eagerly all(-things) do because-of zeal and faith and
ἀγάπην Θεοῦ, αὐτὸ ἐκεῖνο μετὰ καιρόν τινα φέρει αὐτοὺς
love of-God itself that after time some brings them
εἰς γνῶσιν αὐτῆς τῆς ἀληθείας. Ὁ γὰρ Κύριος φανεροῦται
to knowledge of-the-very the truth the for Lord is-manifested
ταῖς ψυχαῖς αὐτῶν, καὶ διδάσκει αὐτοὺς τὴν ἀναστροφὴν
to-the souls their and teaches them the conduct
τοῦ ἁγίου Πνεύματος. Δόξα καὶ προσκύνησις τῷ Πατρί, καὶ
of-the holy Spirit glory and worship to-the Father and
τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας. Ἀμήν.
to-the Son and to-the holy Spirit for the ages amen

XIII · A GREATER RIGHTEOUSNESS

God much for to-you loss comes being-negligent if even
ἐν αὐτῷ τῷ μυστηρίῳ τῆς χάριτος δοκεῖς ἐξετάζεσθαι.
in the-very the mystery of-the grace you-seem to-be-tried

Ἐρώτησις. Εἰ παραμένει ἡ χάρις μετὰ τὸ πεσεῖν 17
question whether remains the grace after the to-fall
ἄνθρωπον;
(the)-man
Ἀπόκρισις. Ὁ Θεὸς θέλει τὸν ἄνθρωπον εἰς ζωὴν πάλιν
answer — God wishes the man to life again
ἀγαγεῖν, καὶ προτρέπεται ἐπὶ τὸ πάλιν προσκλαῦσαι καὶ
to-bring and urges(-him) to the again to-weep and
μετανοῆσαι τὸν ἄνθρωπον. Ἐὰν δὲ καὶ παραμείνῃ, ἐπὶ
to-repent the man if and also it-remain for
τὸ πάλιν προσκλαῦσαι καὶ μετανοῆσαι τὸν ἄνθρωπον,
the again to-weep and to-repent the man
μετανοοῦντα τὰ ἐφ' οἷς πάλαι ἐπλημμέλησεν.
repenting the(-things) for which long-ago he-offended
Ἐρώτησις. Εἰ τοῖς τελείοις ἐπίκειται θλίψις, ἢ πόλεμος, 18
question whether on-the perfect lies affliction or war
ἢ τὸ ὅλον ἀμεριμνοῦσιν;
or the whole they-are-free-from-care
Ἀπόκρισις. Ὁ πολέμιος κατ' οὐδενὸς παύεται πολεμῶν, ὁ
answer the enemy against no-one stops fighting —
Σατανᾶς δὲ ἄσπλαγχνός ἐστι καὶ μισάνθρωπος· διὸ καὶ
Satan and merciless is and man-hating wherefore also
παντὶ ἀνθρώπῳ πολεμεῖν οὐκ ὀκνεῖ. Ἀλλ' οὐ τοῖς αὐτοῖς
every man to-fight not he-shrinks but not in-the same
μέτροις φαίνεται πᾶσαν ἐπιών· καὶ γὰρ ἔπαρχοι καὶ
measures he-appears every(-soul) attacking and for prefects and
κόμητες φόρους διδόασι τῷ βασιλεῖ, ἀλλ' οὗτος θαῤῥῶν
counts taxes give to-the king but this(-one) trusting
τῷ πλούτῳ αὐτοῦ, καὶ τῷ χρυσῷ, καὶ τῷ ἀργύρῳ ὡς
in-the wealth his and the gold and the silver as
ἐκ τῶν περισσευμάτων αὐτοῦ ποιεῖται τὰς συντελείας, οὐ
from the abundance his makes the contributions not

ζημίαν ἡγούμενος. Ὥσπερ γὰρ ὁ ποιῶν ἐλεημοσύνην
loss considering(-it) as for the(-one) doing alms
οὐδέποτε ἡγεῖται ζημίαν· οὕτω καὶ ὁ Σατανᾶς, ὡς ἐκ
never considers (it)-loss so also — Satan as from
παρέργου ταῦτα ἡγεῖται. Ἔστι δὲ πτωχὸς λειπόμενος
by-work these(-things) considers there-is and (a)-poor(-man) lacking
τροφῆς ἐφημέρου· οὗτος μαστίζεται καὶ βασανίζεται, μὴ
food daily this(-one) is-scourged and tortured not
δυνάμενος ἐκεῖνο τὸ συντέλεσμα ἀποπληρῶσαι· καὶ ἔστι
being-able that the contribution to-fill and he-is
ξεόμενος καὶ βασανιζόμενος χαλεπῶς, καὶ οὐκ ἀποθνήσκει.
being-scraped and tortured grievously and not he-dies
Καὶ ἔστιν ἄλλος, ὅτι καὶ ἀπὸ μιᾶς φάσεως κελεύεται
and there-is another that also from one sentence is-ordered
ἀποκεφαλισθῆναι, καὶ ἀπόλλυται. Οὕτως καὶ εἰς τοὺς
to-be-beheaded and perishes thus also among the
Χριστιανούς εἰσιν ἰσχυρῶς πολεμούμενοι καὶ ξεόμενοι ὑπὸ
Christians there-are strongly warred-against and scraped by
τῆς ἁμαρτίας· καὶ ἔτι εἰς τοὺς πολέμους στερεοῦνται καὶ
the sin and still in the wars are-made-firm and
σοφίζονται, καταφρονοῦντες τῆς ἐναντίας δυνάμεως, καὶ
become-wise despising the opposing power and
οὐκ ἔχουσι κίνδυνον ἐν τούτῳ τῷ μέρει, ὅτι ἄπτωτοί
not have danger in this the part because unfalling
εἰσι καὶ ἀσφαλίζονται περὶ τῆς ἑαυτῶν σωτηρίας, διὰ
they-are and are-secured about the their-own salvation because-of
τὸ πολλάκις γεγυμνᾶσθαι ἐν τῷ πολέμῳ τῆς κακίας,
the often to-have-been-exercised in the war of-the vice
καὶ ἐμπείρους γεγενῆσθαι. Ἔχοντες δὲ τὸν Θεὸν μεθ᾽
and experienced to-have-become having and — God with
ἑαυτῶν, ὁδηγοῦνται καὶ ἀναπαύονται.
themselves they-are-guided and rest

Ἄλλοι δὲ μηδέπω γυμνασθέντες, εἰς μίαν θλῖψιν ἐὰν 19
others but not-yet having-been-exercised into one affliction if
ἐμπέσωσι καὶ ἐπικινηθῇ πόλεμος, εὐθέως καταπίπτουσιν εἰς
they-fall and is-stirred-up war immediately fall-down into
ὄλεθρον καὶ ἀπώλειαν· ὥσπερ οἱ διοδεύοντες ἐν πόλει,
ruin and perdition as the(-ones) traveling in (a)-city
θέλοντες ἰδεῖν τοὺς ἀγαπητοὺς αὐτῶν καὶ γνωρίμους, εἰ
wishing to-see the beloved their and acquaintances if
καὶ πολλοῖς συναντῶσιν ἐν ταῖς ἀγοραῖς, οὐκ ἐμποδίζονται
even many they-meet in the marketplaces not they-are-hindered
ὑπ᾽ αὐτῶν· ἔχουσι γὰρ σκοπὸν τοῦ τοῖς φίλοις ἐντυχεῖν·
by them they-have for (an)-aim of-the with-the friends to-meet
καὶ ὅταν ἔξωθεν κρούσωσι τὴν θύραν καὶ καλέσωσι,
and when from-outside they-knock-at the door and call
χαίροντες ἀνοίγουσιν οἱ ἀγαπητοὶ αὐτῶν· εἰ δὲ ἀπομείνωσιν
rejoicing open the beloved their if but they-linger
ἐν ταῖς ἀγοραῖς, καὶ χλευάζωνται, ἤτοι ἐπέχονται ἀπὸ
in the marketplaces and are-mocked or are-detained by
τῶν ἀπαντώντων, ἀποκλείεται ἡ θύρα, καὶ οὐδεὶς
the(-ones) meeting(-them) is-shut the door and no-one
αὐτοῖς ἀνοίγει· οὕτως καὶ οἱ πρὸς τὸν Δεσπότην ἡμῶν
to-them opens thus also the(-ones) toward the Master our
Χριστὸν τὸν ὄντως ἀγαπητὸν ἐπειγόμενοι φθάσαι, τῶν
Christ the truly beloved hastening to-arrive the
ἄλλων ἁπάντων ὀφείλουσι καταφρονεῖν καὶ ὑπερορᾷν. Ὃν
others all ought to-despise and to-disregard in-what
δὲ τρόπον οἱ εἰσερχόμενοι εἰς τὸ παλάτιον πρὸς τὸν
and way the(-ones) entering into the palace to the
βασιλέα, κόμητες μὲν ὄντες ἢ ἔπαρχοι, ὑπὸ φόβον πολύν
king counts indeed being or prefects under fear much
εἰσι, πῶς τὰς ἀποκρίσεις δώσουσι, καὶ μὴ ἐν τῇ ἀπολογίᾳ
are how the answers they-will-give and not in the defense

πταίσαντες εἰς λόγον καὶ τιμωρίαν ὑποβληθῶσιν· ἄγροικοι
having-stumbled to account and punishment be-subjected rustics
δὲ καὶ ἰδιῶται ὄντες, οἱ μηδέποτε θεασάμενοι
but and ignorant(-men) being the(-ones) never having-beheld
ἄρχοντα, ἐν ἀμεριμνίᾳ διάγουσιν· οὕτω δὴ καὶ ὁ
(a)-ruler in freedom-from-care live thus indeed also the
κόσμος οὗτος ὁ ὑπὸ τῶν οὐρανῶν ἀπὸ βασιλέων
world this the(-one) under the heavens from kings
ἕως πτωχῶν. Τὴν τοῦ Χριστοῦ δόξαν ἀγνοοῦντες, τὴν
to (the)-poor the — of-Christ glory not-knowing the
μέριμναν ἔχουσι περὶ τῶν βιωτικῶν πραγμάτων· οὐ
care have about the worldly matters not
ταχέως δέ τις μέμνηται τῆς ἡμέρας τῆς κρίσεως.
quickly and someone remembers the day of-the judgment
Οἱ δὲ εἰσερχόμενοι τῷ λογισμῷ εἰς τὸ βῆμα τοῦ
the(-ones) but entering in-the thought into the judgment-seat —
Χριστοῦ, ὅπου ἐστὶν ὁ θρόνος αὐτοῦ, καὶ κατέναντι αὐτοῦ
of-Christ where is the throne his and opposite him
διὰ παντὸς ὄντες, ὑπὸ φόβον καὶ τρόμον εἰσὶν ἀεί, τοῦ
through all(-time) being under fear and trembling are always of-the
μή τι σφαλῆναι περὶ τὰς ἁγίας αὐτοῦ ἐντολάς.
not in-anything to-err about the holy his commandments
20 Καὶ ὥσπερ οἱ πλούσιοι τῆς γῆς, ὅταν πολλοὺς καρποὺς
and as the rich of-the earth when many fruits
εἰσενέγκωσιν εἰς τὰς ἀποθήκας αὐτῶν, πάλιν ἐργάζονται
they-bring into the storehouses their again they-work
καθ' ἑκάστην ἡμέραν πλεῖον, ἵνα εὐπορῶσι καὶ μὴ
on each day more that they-may-prosper and not
ἐλλείπωνται. Εἰ δὲ θαῤῥήσουσι τῷ ἐναποκειμένῳ ταῖς
fall-short if but they-will-trust in-the laid-up in-the
ἀποθήκαις πλούτῳ, καὶ ἀμελήσουσι μὴ ἐπισυνάγοντες
storehouses wealth and will-be-negligent not gathering

ἕτερον, ἀλλὰ καταναλίσκοντες τὰ ἀποκείμενα, ταχέως
another but consuming the(-things) laid-up quickly
εἰς πενίαν καὶ πτωχείαν ἐμπίπτουσιν. Ὅθεν προσοδευόμενοι
into penury and poverty they-fall whence having-revenues
καὶ εἰσφέροντες ὀφείλουσι κάμνειν καὶ ἐπισυνάγειν, ἵνα
and bringing-in they-ought to-labor and to-gather that
μὴ ὑστερηθῶσιν. Οὕτως ἐστὶν ἐν τῷ Χριστιανισμῷ τὸ
not they-be-in-want thus it-is in the Christianity the
γεύσασθαί τινα τῆς χάριτος τοῦ Θεοῦ· Γεύσασθε γάρ,
to-taste someone of-the grace — of-God taste for
φησί, καὶ ἴδετε ὅτι χρηστὸς ὁ Κύριος. Ἔστι δὲ ἡ
he-says and see that kind (is)-the Lord is and the
γεῦσις αὕτη ἐνεργητικὴ ἐν πληροφορίᾳ δύναμις Πνεύματος
taste this effective in full-assurance (a)-power of-Spirit
διακονοῦσα ἐν καρδίᾳ. Ὅσοι γὰρ υἱοί εἰσι τοῦ φωτός,
ministering in (the)-heart as-many-as for sons are of-the light
καὶ τῆς διακονίας τῆς καινῆς διαθήκης ἐν τῷ Πνεύματι τῷ
and of-the ministry of-the new covenant in the Spirit the
ἁγίῳ, οὗτοι παρὰ ἀνθρώπων οὐδὲν μανθάνουσι· θεοδίδακτοι
holy these from men nothing learn God-taught
γάρ εἰσιν. Αὐτὴ γὰρ ἡ χάρις ἐπιγράφει ἐν ταῖς καρδίαις
for they-are the-very for the grace inscribes in the hearts
αὐτῶν τοὺς νόμους τοῦ Πνεύματος. Οὐκ ὀφείλουσιν οὖν
their the laws of-the Spirit not they-ought then
εἰς τὰς Γραφὰς μόνον τὰς διὰ μέλανος γεγραμμένας
in the Scriptures only the(-ones) through ink written
πληροφορεῖσθαι, ἀλλὰ καὶ εἰς τὰς πλάκας τῆς καρδίας
to-be-fully-assured but also on the tablets of-the heart
ἡ χάρις τοῦ Θεοῦ ἐγγράφει τοὺς νόμους τοῦ Πνεύματος,
the grace — of-God inscribes the laws of-the Spirit
καὶ τὰ ἐπουράνια μυστήρια· ἡ γὰρ καρδία ἡγεμονεύει καὶ
and the heavenly mysteries the for heart governs and

βασιλεύει ὅλου τοῦ σωματικοῦ ὀργάνου. Καὶ ἐπὰν κατάσχῃ
reigns-over whole the bodily instrument and when takes-hold-of
τὰς νομὰς τῆς καρδίας ἡ χάρις, βασιλεύει ὅλων τῶν
the pastures of-the heart the grace it-reigns-over all the
μελῶν, καὶ τῶν λογισμῶν· ἐκεῖ γάρ ἐστιν ὁ νοῦς, καὶ
members and the thoughts there for is the mind and
ὅλοι οἱ λογισμοὶ τῆς ψυχῆς καὶ ἡ προσδοκία αὐτῆς. Διὸ
all the thoughts of-the soul and the expectation her wherefore
καὶ διέρχεται ἡ χάρις εἰς ὅλα τὰ μέλη τοῦ σώματος.
also passes the grace into all the members of-the body
21 Οὕτως πάλιν ὅσοι εἰσὶν υἱοὶ τοῦ σκότους, βασιλεύει τῆς
thus again as-many-as are sons of-the darkness reigns-over the
καρδίας ἡ ἁμαρτία, καὶ διέρχεται εἰς ὅλα τὰ μέρη. Ἐκ
heart the sin and passes into all the parts from
γὰρ τῆς καρδίας ἐξέρχονται διαλογισμοὶ πονηροί· καὶ οὕτως
for the heart come-out reasonings evil and thus
ὑπεκχεομένη σκοτίζει τὸν ἄνθρωπον. Οἱ δὲ μὴ λέγοντες
pouring-forth it-darkens the man the(-ones) but not saying
εἶναι τὸ κακὸν σύντροφον, καὶ συναυξάνον τῷ ἀνθρώπῳ,
to-be the evil (a)-companion and growing-up-with the man
μήτε μεριμνήσωσι περὶ τῆς αὔριον, μήτε ἐπιθυμήσωσι·
neither let-them-take-thought about the morrow nor let-them-lust
καιρῷ γάρ τινι ἐπαύσατο ἐν αὐτοῖς ἐνοχλοῦν τὸ κακόν, τινὰ
for-(a)-time for some ceased in them troubling the evil some
ἐπιθυμίαν ὑποβάλλον· ὥστε ἐν ὅρκῳ διαβεβαιοῦσθαι τὸν
lust suggesting so-that with (an)-oath to-affirm the
ἄνθρωπον, ὅτι Οὐκέτι ἐπανίσταταί μοι τὸ τοιοῦτον πάθος·
man that no-longer rises-up-against me the such passion
καὶ μετ᾽ ὀλίγον καιρὸν κατεκάη τῇ ἐπιθυμίᾳ, ὥστε
and after (a)-little time he-was-burned-up by-the lust so-that
εὑρεθῆναι αὐτὸν πρὸς ἐπὶ τούτοις καὶ ἐπίορκον. Ὥσπερ γὰρ
to-be-found him besides on these(-things) also perjured as for

διʼ ὀχετοῦ διέρχεται ὕδωρ, οὕτως καὶ διὰ τῆς καρδίας
through (a)-channel passes water thus also through the heart
καὶ τῶν λογισμῶν ἡ ἁμαρτία· Ὅσοι δὲ τοῦτο ἀναιροῦσιν,
and the thoughts the sin as-many-as and this deny
ὑπʼ αὐτῆς τῆς ἁμαρτίας μελλούσης θριαμβεύεσθαι, ἐλέγχονται
by the-very the sin being-about to-be-led-in-triumph are-refuted
καὶ χλευάζονται. Σπουδάζει γὰρ τὸ κακὸν λανθάνειν καὶ
and mocked strives for the evil to-escape-notice and
κρύπτεσθαι ἐν τῇ διανοίᾳ τοῦ ἀνθρώπου.
to-hide in the mind of-the man

Εἰ οὖν ἀγαπᾷ τις τὸν Θεόν, καὶ αὐτὸς συγκιρνᾷ τούτῳ τὴν 22
if then loves someone — God also he-himself mingles with-him the
ἑαυτοῦ ἀγάπην· πιστευθεὶς δὲ ἅπαξ ὑπʼ αὐτοῦ, προστιθεῖ
his-own love having-been-trusted and once by him he-adds
τούτῳ τὴν ἐπουράνιον πίστιν, καὶ γίγνεται διπλοῦς ὁ
to-him the heavenly faith and becomes double the
ἄνθρωπος. Ὅπως οὖν ἐκ τῶν μελῶν σου προσφέρῃς αὐτῷ,
man as then from the members your you-offer to-him
καὶ αὐτὸς ἐκ τῶν ἰδίων ὅμοια μελῶν συγκιρνᾷ τῇ ψυχῇ
also he from the own like members mingles with-the soul
σου, ἵνα ᾖς πάντα καθαρῶς ποιῶν, καὶ ἀγαπῶν, καὶ
your that you-may-be all(-things) purely doing and loving and
προσευχόμενος· μεγάλου γὰρ ἀξιώματός ἐστιν ὁ ἄνθρωπος·
praying of-great for dignity is the man
ἴδε πόσος ἐστὶν ὁ οὐρανὸς καὶ ἡ γῆ, ὁ ἥλιος καὶ ἡ
see how-great is the heaven and the earth the sun and the
σελήνη, καὶ οὐκ εὐδόκησεν ἐν αὐτοῖς ὁ Κύριος, εἰ μὴ ἐν
moon and not was-pleased in them the Lord except — in
τῷ ἀνθρώπῳ μόνῳ, ἐπαναπαύεσθαι. Τιμιώτερος οὖν ἐστιν ὁ
the man alone to-rest more-precious then is the
ἄνθρωπος ὑπὲρ πάντα τὰ δημιουργήματα, τάχα δὲ τολμήσω
man beyond all the works perhaps and I-will-dare

λέγειν, ὅτι μὴ μόνον τῶν ὁρατῶν δημιουργημάτων, ἀλλὰ
to-say that not only of-the visible works but
καὶ τῶν ἀοράτων, ἤγουν τῶν λειτουργικῶν πνευμάτων. Οὐ
also of-the invisible(-ones) that-is of-the ministering spirits not
γὰρ περὶ Μιχαὴλ καὶ Γαβριήλ, τῶν ἀρχαγγέλων εἶπεν, ὅτι
for about Michael and Gabriel the archangels he-said that
Ποιήσωμεν κατ᾽ εἰκόνα καὶ ὁμοίωσιν ἡμετέραν· ἀλλὰ περὶ
let-us-make after image and likeness our but about
τῆς νοερᾶς οὐσίας τοῦ ἀνθρώπου, τῆς ἀθανάτου λέγω
the intellectual being of-the man the immortal I-mean
ψυχῆς. Καὶ γὰρ γέγραπται, ὅτι Παρεμβολαὶ ἀγγέλων
soul and for it-is-written that camps of-angels
κύκλῳ τῶν φοβουμένων αὐτόν. Τὰ μὲν οὖν κτίσματα
around the(-ones) fearing him the indeed then creatures
τὰ φαινόμενα, φύσει τινὶ ἀμεταβλήτῳ δέδεται.
the visible(-ones) by-nature some unchangeable are-bound

23 Ὁ οὐρανὸς ἅπαξ τέτακται, ὁ ἥλιος, ἡ σελήνη, ἡ γῆ,
the heaven once-for-all has-been-ordered the sun the moon the earth
καὶ οὐκ εὐδόκησεν ἐν αὐτοῖς ὁ Κύριος· ἀλλ᾽ οὐδὲ παρ᾽ ὃ
and not was-pleased in them the Lord but not-even beyond what
ἐκτίσθησαν μετατραπῆναι δύνανται, οὔτε ἔχουσι θέλημα. Σὺ
they-were-created to-be-changed can-they nor have-they will you
δὲ διὰ τοῦτο εἶ κατ᾽ εἰκόνα καὶ ὁμοίωσιν Θεοῦ, ἐπειδὴ
but because-of this are after (the)-image and likeness of-God since
ὥσπερ ὁ Θεὸς αὐτεξούσιός ἐστι, καὶ ὃ θέλει ποιεῖ· ἐὰν
as — God self-determining is and what he-wishes does if
θέλῃ, κατὰ τὴν ἐξουσίαν αὐτοῦ πέμψει τοὺς δικαίους
he-wish according-to the authority his he-will-send the righteous
εἰς γέενναν, καὶ τοὺς ἁμαρτωλοὺς εἰς βασιλείαν· ἀλλ᾽ οὐχ
into Gehenna and the sinners into (the)-kingdom but not
αἱρεῖται, οὐδὲ καταδέχεται τοῦτο· δικαιοκρίτης γάρ ἐστιν
he-chooses nor accepts this (a)-just-judge for is

ὁ Κύριος· οὕτως καὶ σὺ αὐτεξούσιος εἶ, καὶ ἐὰν θέλῃς
the Lord thus also you self-determining are and if you-wish
ἀπολέσθαι, τρεπτῆς φύσεως εἶ· εἰ θέλεις βλασφημῆσαι,
to-perish of-changeable nature you-are if you-wish to-blaspheme
ποιῆσαι φάρμακα, καὶ ἀποκτεῖναί τινα, οὐδείς σοι ἀντίκειται
to-make poisons and to-kill someone no-one you opposes
ἢ κωλύει σε. Εἰ θέλει τις, ὑποτάσσεται τῷ Θεῷ, καὶ διοδεύει
or prevents you if wishes someone he-is-subject — to-God and travels
τὴν ὁδὸν τῆς δικαιοσύνης, καὶ κρατεῖ τῶν ἐπιθυμιῶν. Ὁ γὰρ
the way of-the righteousness and masters the lusts the for
νοῦς οὗτος ἀντίπαλός ἐστιν, ἐπικρατεῖν δυνάμενος ἐῤῥωμένῳ
mind this (an)-opponent is to-prevail being-able with-strong
λογισμῷ τὰς τῆς κακίας ὁρμὰς καὶ ἐπιθυμίας αἰσχράς.
thought the of-the vice impulses and lusts shameful
Εἰ γὰρ ἐν οἰκίᾳ μεγάλῃ, ὅπου ἐστὶ χρυσώματα, 24
if for in (a)-house great where are gold-vessels
χρυσόφορα, καὶ ἀργυρώματα, καὶ ἐσθὴς διάφορος, χρυσός
gold-wrought and silver-vessels and raiment various gold
τε καὶ ἄργυρος, νεανίσκοι καὶ νεάνιδες διατρίβοντες
both and silver young-men and maidens living-there
ἄγχουσι τὸν ἑαυτῶν νοῦν· εἰ καὶ ἡ φύσις διὰ τὴν
strangle the their-own mind if even the nature because-of the
σύνοικον ἁμαρτίαν πάντων ἐπιθυμεῖ· καὶ διὰ τὸν
indwelling sin all(-things) desires and because-of the
ἀνθρώπινον φόβον τῶν δεσποτῶν, ἐπέχουσι τὰς ὁρμὰς
human fear of-the masters they-check the impulses
τῶν ἐπιθυμιῶν· πόσῳ μᾶλλον, ὅπου ἐστὶ φόβος Θεοῦ,
of-the lusts how-much more where is fear of-God
ἀντιμάχεσθαι καὶ ἀντιπράττειν ὁ νοῦς ὀφείλει τῇ συνούσῃ
to-fight-back and to-counteract the mind ought the present
κακίᾳ; Τὰ γὰρ δυνατά σοι προσέταξεν ὁ Θεός. Ἡ
vice the(-things) for possible for-you commanded — God the

μὲν οὖν τῶν ἀλόγων ζώων φύσις δετή ἐστιν, οἷον ἡ τοῦ
indeed then of-the irrational animals nature bound is as the of-the
ὄφεως φύσις πικρά ἐστι καὶ ἰοβόλος· ὅλοι οὖν οἱ ὄφεις
serpent nature bitter is and venomous all then the serpents
τοιοῦτοί εἰσιν. Ὁ λύκος ἁρπάζειν εἴωθεν· ὅλοι οἱ λύκοι
such are the wolf to-snatch is-accustomed all the wolves
τῆς αὐτῆς εἰσι φύσεως. Τὸ ἀρνίον ἀφελὲς ὂν ἁρπάζεται·
of-the same are nature the lamb simple being is-snatched
ὅλα τὰ ἀρνία τῆς αὐτῆς εἰσι φύσεως. Ἡ περιστερὰ
all the lambs of-the same are nature the dove
ἄδολός ἐστι καὶ ἀκέραιος· ὅλαι αἱ περιστεραὶ τῆς αὐτῆς
guileless is and innocent all the doves of-the same
εἰσι φύσεως. Ὁ δὲ ἄνθρωπος οὐχ οὕτως ἐστίν. Εἷς ἐστιν
are nature the but man not thus is one is
ὁ λύκος ἁρπάζων, καὶ εἷς ἐστιν ὡς ἀρνίον ἁρπαζόμενος·
the wolf snatching and one is as (a)-lamb being-snatched
ἐκ τοῦ γένους τῆς ἀνθρωπότητος ἀμφότερα γενήσεται.
from the race of-the humanity both will-come-about
25 Ἔστι τις μὴ ἀρκούμενος τῇ ἰδίᾳ γυναικί, ἀλλὰ καὶ
there-is someone not content with-the own wife but also
πορνεύων· καὶ ἔστιν ἄλλος, ὅστις οὐκ ἐᾷ οὐδὲ ἐπιθυμίαν
fornicating and there-is another who not allows not-even (a)-lust
ἀνελθεῖν ἐπὶ τὴν καρδίαν αὐτοῦ. Ἔστι τις διαρπάζων
to-come-up to the heart his there-is someone plundering
τὰ τοῦ πλησίον· καὶ ἔστιν ἄλλος διὰ θεοσέβειαν
the(-goods) of-the neighbor and there-is another for-the-sake-of piety
καὶ τὰ ἴδια διαδιδούς. Ὁρᾷς πῶς τρεπτή ἐστιν αὐτὴ
even the own(-goods) distributing you-see how changeable is the-very
ἡ φύσις· ἔστιν ἐπὶ τὸ κακὸν ῥέπουσα, καὶ ἔστιν ἐπὶ τὸ
the nature it-is to the evil inclining and it-is to the
καλὸν αὖθις· καὶ δι' ἀμφοτέρων ἐπιτηδείως ἔχει νεῦσαι
good again and through both fittingly it-is-able to-incline

πρὸς ἃς βούλεται πράξεις· δεκτικὴ οὖν ἡ φύσις τοῦ
toward whatever it-wishes actions receptive then (is)-the nature of-the
καλοῦ τε καὶ τοῦ κακοῦ, ἤτοι θείας χάριτος, ἤτοι ἐναντίας
good both and of-the evil either of-divine grace or of-opposing
δυνάμεως, ἀλλ᾽ οὐκ ἀναγκαστική· ἐπειδὴ τὸ πρὶν αὐτὸς ὁ
power but not compelled since the before the-very —
Ἀδὰμ ἐν καθαρότητι ὤν, ἐβασίλευε τῶν λογισμῶν αὐτοῦ·
Adam in purity being reigned-over the thoughts his
ἀφ᾽ οὗ δὲ παρέβη τὴν ἐντολήν, ὄρη δυσβάστακτα
from when but he-transgressed the commandment mountains hard-to-bear
ἐπίκειται τῷ νῷ αὐτοῦ. Καὶ οἱ τῆς κακίας λογισμοὶ
lie-upon the mind his and the of-the vice thoughts
παραμιγέντες, ὅλοι ὡς ἴδιοι αὐτοῦ ἐγένοντο, καὶ οὐδὲ
having-been-mingled-in all as own his became and not-even
εἷς αὐτοῦ ἴδιός ἐστιν, ἐπειδὴ κατέχονται ὑπὸ τῆς κακίας.
one his own is since they-are-held by the vice
Λοιπὸν ὀφείλεις ζητῆσαι λύχνον, ἵνα ἀφθῇ καὶ εὕρῃς 26
henceforth you-ought to-seek (a)-lamp that it-may-be-lit and you-may-find
τοὺς καθαροὺς λογισμούς. Οὗτοι γάρ εἰσιν οἱ φυσικοί, οὓς
the pure thoughts these for are the natural(-ones) which
ἐποίησεν ὁ Κύριος. Οἱ ἀνατραφέντες εἰς θάλασσαν,
made the Lord the(-ones) brought-up in (the)-sea
ἔμαθον κολυμβᾷν, καὶ ὅταν ἐπαναστῶσι κλύδωνες καὶ
learned to-swim and when rise-up surges and
κύματα, οὐ ξενίζονται. Οὕτως εἰσὶν οἱ Χριστιανοί. Ὥσπερ
waves not they-are-surprised so are the Christians as
νοῦς τριετοῦς παιδίου οὐ δύναται χωρῆσαι ἢ
(the)-mind of-(a)-three-year-old child not can to-contain or
καταλαβεῖν νοῦν τελείου σοφιστοῦ, ἐπειδήπερ ἐν μέσῳ
to-grasp (the)-mind of-(a)-perfect sophist since in (the)-midst
παρῆλθε πολύς τις χρόνος· οὕτω καὶ οἱ Χριστιανοὶ ὡς
passed much some time so also the Christians as

βρέφη νήπια τὸν κόσμον κατανοοῦσιν, ἀφορῶντες εἰς
babes infants the world regard looking to
τὸ μέτρον τῆς χάριτος· ξένοι γάρ εἰσι τοῦ αἰῶνος
the measure of-the grace strangers for they-are of-the age
τούτου. Ἡ δὲ πόλις αὐτῶν καὶ ἡ ἀνάπαυσις ἄλλη ἐστίν·
this the and city their and the rest other is
ἔχουσι γὰρ οἱ Χριστιανοὶ τὴν παράκλησιν τοῦ Πνεύματος,
have for the Christians the consolation of-the Spirit
δάκρυα, καὶ πένθος, καὶ στεναγμόν, καὶ αὐτὰ τὰ δάκρυα
tears and mourning and groaning and the-very the tears
τρυφὴ αὐτοῖς ἐστιν. Ἔχουσι δὲ καὶ φόβον ἐν χαρᾷ καὶ
(a)-delight to-them is they-have and also fear in joy and
ἀγαλλιάσει· καὶ οὕτως εἰσὶν ὡς ἄνθρωποι βαστάζοντες
exultation and so they-are as men carrying
εἰς τὰς χεῖρας αὐτῶν τὸ αἷμα αὐτῶν, μὴ θαῤῥοῦντες
in the hands their the blood their not trusting
ἑαυτοῖς, ἢ οἰόμενοί τι εἶναι, ἀλλ' ὄντες ἐξουδενούμενοι
in-themselves or thinking something to-be but being set-at-naught
καὶ ἀποδεδοκιμασμένοι παρὰ πάντας ἀνθρώπους.
and rejected beyond all men

27 Ὥσπερ ἐὰν ᾖ βασιλεύς, καὶ πτωχῷ τινι παράθηται
as if there-be (a)-king and with-(a)-poor-man some deposit
τὸν ἑαυτοῦ θησαυρόν, ὁ παραλαβὼν φυλάξαι, οὐκ
the his-own treasure the(-one) having-received(-it) to-guard not
ἔχει αὐτὸν ὡς ἴδιον, ἀλλ' ὁμολογεῖ πάντοτε τὴν πτωχείαν
has it as own but confesses always the poverty
αὐτοῦ, μὴ τολμῶν διασκορπίσαι ἐκ τοῦ ἀλλοτρίου
his not daring to-scatter from the another's
θησαυροῦ· τοῦτο γὰρ ἐνθυμεῖται πάντοτε, ὡς οὐ μόνον
treasure this for he-ponders always that not only
ἀλλότριός ἐστιν ὁ θησαυρός, ἀλλὰ καὶ βασιλεὺς δυνάστης
another's is the treasure but also (a)-king potentate

παρέθετό μοι αὐτόν, καὶ ὅταν θέλῃ λαμβάνει αὐτὸν
deposited with-me it and when he-wishes he-takes it
ἀπ᾽ ἐμοῦ· οὕτως ἑαυτοὺς ὀφείλουσιν ἡγεῖσθαι καὶ οἱ
from me thus themselves ought to-consider also the(-ones)
ἔχοντες τὴν χάριν τοῦ Θεοῦ, ταπεινοφρονεῖν καὶ ὁμολογεῖν
having the grace — of-God to-be-humble and to-confess
τὴν πτωχείαν αὐτῶν. Ὥσπερ γὰρ ὁ πτωχὸς ὁ
the poverty their as for the poor(-man) the(-one)
λαβὼν τὴν παραθήκην τοῦ θησαυροῦ παρὰ τοῦ
having-received the deposit of-the treasure from the
βασιλέως, ἐὰν πεποιθὼς ἐπὶ τῷ ἀλλοτρίῳ θησαυρῷ, ὡς
king if trusting in the another's treasure as
ἰδίῳ πλούτῳ ἐπαρθῇ, καὶ τῦφον λάβῃ ἡ καρδία αὐτοῦ,
own wealth he-be-exalted and conceit take the heart his
αἴρει ἀπ᾽ αὐτοῦ ὁ βασιλεὺς τὸν θησαυρὸν αὐτοῦ, καὶ μένει
takes from him the king the treasure his and remains
ὁ ἐσχηκὼς αὐτὸν ἐν παρακαταθήκῃ, οἷος ἦν πρὸ
the(-one) having-held it in deposit such-as he-was before
τούτου πτωχός· οὕτως καὶ οἱ ἔχοντες τὴν χάριν, ἐὰν
this poor thus also the(-ones) having the grace if
ἐπαρθῶσι καὶ τῦφον λάβωσιν αἱ κάρδιαι αὐτῶν, αἴρει ἀπ᾽
they-be-exalted and conceit take the hearts their takes from
αὐτῶν ὁ Κύριος τὴν χάριν αὐτοῦ, καὶ μένουσι τοιοῦτοι,
them the Lord the grace his and they-remain such
οἷοι ἦσαν πρὸ τοῦ λαβεῖν τὴν χάριν παρὰ τοῦ Κυρίου.
as they-were before the to-receive the grace from the Lord
Ἀλλὰ πολλοὶ καίτοι συνούσης τῆς χάριτος, κλεπτόμενοι 28
but many although being-present the grace being-robbed
ὑπὸ τῆς ἁμαρτίας οὐκ οἴδασιν. Ὥσπερ ἐὰν ᾖ
by the sin not know as if there-be
νεωτέρα ἐν οἴκῳ τινί, ὁμοίως καὶ νεώτερος· καὶ
(a)-young-woman in house some likewise also (a)-young-man and

λοιπὸν κολακευομένη ὑπ᾽ ἐκείνου αὐτὴ συνθῆται αὐτῷ,
henceforth being-flattered by him she agree with-him
μοιχᾶται, καὶ ἀπόβλητος γίνεται· οὕτω καὶ ὁ δεινὸς
she-commits-adultery and cast-off becomes thus also the dreadful
ὄφις τῆς ἁμαρτίας σύνεστι τῇ ψυχῇ γαργαρίζων καὶ
serpent of-the sin is-with the soul tickling and
προτρεπόμενος· καὶ ἐὰν συνθῆται, κοινωνεῖ ἡ ἀσώματος
urging and if she-agree communes the bodiless
ψυχὴ τῇ ἀσωμάτῳ κακίᾳ τοῦ πνεύματος, τουτέστι,
soul with-the bodiless vice of-the spirit that-is
πνεῦμα πνεύματι κοινωνεῖ, καὶ μοιχεύει ἐν τῇ καρδίᾳ
spirit with-spirit communes and commits-adultery in the heart
αὐτοῦ ὁ συντιθέμενος καὶ καταδεχόμενος τὸν λογισμὸν
his the(-one) agreeing and accepting the thought
τοῦ πονηροῦ. Τὸ οὖν μέτρον τοῦ ἀγῶνός σου τοῦτό ἐστιν,
of-the evil(-one) the then measure of-the contest your this is
ἵνα μὴ μοιχεύσῃς ἐν τοῖς λογισμοῖς ἀλλ᾽ ἵνα ἀντιστῇς
that not you-commit-adultery in the thoughts but that you-resist
τῷ νῷ, καὶ ἔσωθεν ποιήσῃς πόλεμον καὶ ἀγῶνα, καὶ μὴ
with-the mind and within make war and contest and not
ὑπακούσῃς, μηδὲ συνηδυνθῇς τῇ κακίᾳ ἐν τοῖς λογισμοῖς·
obey nor take-pleasure-with the vice in the thoughts
καὶ ἐὰν ταύτην τὴν ἑτοιμασίαν εὕρῃ ὁ Κύριος ἐν σοί, ἐν
and if this the readiness find the Lord in you in
τῇ ἐσχάτῃ ἡμέρᾳ παραλαμβάνει σε ἐν τῇ βασιλείᾳ αὐτοῦ.
the last day he-takes you into the kingdom his
29 Ἔστι γάρ τινα πράγματα, ἃ οἰκονομεῖ ὁ Κύριος ἵνα
there-are for some matters which dispenses the Lord that
μὴ ἀμάρτυρον ἑαυτὸν ποιήσῃ τῆς θείας χάριτος καὶ
not without-witness himself he-make of-the divine grace and
τῆς κλήσεως αὐτοῦ· καὶ ἔστι τινὰ πράγματα, ἃ
of-the calling his and there-are some matters which

οὕτως οἰκονομεῖ κατὰ παραχώρησιν, ἵνα δοκιμασθῇ καὶ
thus he-dispenses by permission that be-tested and
γυμνασθῇ ὁ ἄνθρωπος, ἵνα ἀποδειχθῇ τὸ αὐτεξούσιον τοῦ
be-exercised the man that be-shown the self-determination of-the
ἀνθρώπου. Οἱ γὰρ ἐν θλίψεσι καὶ πειρασμοῖς ὄντες,
man the(-ones) for in afflictions and temptations being
ἐὰν ὑπομείνωσιν, οὐκ ἀποτυγχάνουσι τῆς βασιλείας τῶν
if they-endure not fail-of the kingdom of-the
οὐρανῶν. Οἱ οὖν Χριστιανοὶ ἐν τοῖς θλιβεροῖς πράγμασιν
heavens the(-ones) then Christians in the afflicting matters
οὐκ ἄχθονται ἢ λυποῦνται· ἐὰν ἐν πενίᾳ ἢ κακουργίᾳ
not are-vexed or grieve if in poverty or evil-doing
ἐξετασθῶσιν, οὐκ ὀφείλουσι ξενίζεσθαι, ἀλλὰ μᾶλλον
they-are-tried not they-ought to-be-surprised but rather
συνηδύνεσθαι τῇ πτωχείᾳ, καὶ ἡγεῖσθαι ἀντὶ πλούτου,
to-take-pleasure-with the poverty and to-consider instead-of wealth
τὴν νηστείαν ἀντὶ τρυφῆς, τὴν ἀτιμίαν καὶ ἀδοξίαν
the fasting instead-of luxury the dishonor and ingloriousness
ἀντὶ δόξης· πάλιν δέ, ἐὰν ἐμπέσωσιν εἰς πράγματα ἔνδοξα
instead-of glory again and if they-fall into matters glorious
τῷ βίῳ τούτῳ, ἅπερ προτρέπεται αὐτοὺς εἰς ἀνάπαυσιν
in-the life this which urge them to rest
σαρκικήν, ἢ πλοῦτον, ἢ δόξαν, ἢ τρυφήν, ὀφείλουσι μὴ
fleshly or wealth or glory or luxury they-ought not
συνήδεσθαι τούτοις, ἀλλ' ἀποφεύγειν ὡς ἀπὸ πυρός.
to-take-pleasure in-these but to-flee as from fire
Εἰς τὸ φαινόμενον· ἔθνος ἐὰν ἐλάχιστον ἐπικινηθῇ τῷ 30
in the visible(-world) (a)-nation if (a)-little be-stirred-up against-the
βασιλεῖ πρὸς πόλεμον, οὐ κάμνει πολεμῶν αὐτός, ἀλλ'
king for war not labors fighting he-himself but
ἀποστέλλει στρατιώτας μετὰ τῶν ἀρχόντων αὐτῶν, καὶ
sends soldiers with the rulers their and

ποιοῦνται τὸν πόλεμον. Ἐὰν δὲ ἔθνος μέγιστον ᾖ τὸ
they-make the war if but (a)-nation very-great be the(-one)
ἐπικινηθέν, δυνάμενον ἐμπορθῆσαι τὴν βασιλείαν αὐτοῦ,
stirred-up able to-sack the kingdom his
ἀναγκάζεται αὐτὸς ὁ βασιλεὺς σὺν τοῖς ἐν τῷ παλατίῳ
is-compelled the-very the king with the(-ones) in the palace
καὶ τοῖς στρατοπέδοις αὐτοῦ ἀπελθεῖν συγκροτῆσαι τὸν
and the armies his to-go-off to-wage the
πόλεμον. Βλέπε οὖν σου τὸ ἀξίωμα, ὅτι ὁ Θεὸς ἐκινήθη μετὰ
war see then your the dignity that — God was-moved with
τοῦ ἰδίου στρατοπέδου, τῶν ἀγγέλων λέγω καὶ τῶν ἁγίων
the own army of-the angels I-mean and of-the holy
πνευμάτων, εἰς σὴν πρεσβείαν δι᾽ ἑαυτοῦ ἐλθών, ἵνα σε
spirits for your embassy through himself having-come that you
λυτρώσηται ἐκ τοῦ θανάτου. Ἀσφάλισαι οὖν σεαυτόν, καὶ
he-might-redeem from the death secure then yourself and
ἐννοήθητι οἵα πρόνοια διὰ σὲ γεγένηται. Ὑποδείγματι δὲ
consider what-sort providence for you has-come-about with-(an)-example and
βιωτικῷ κεχρήμεθα, ὡς ἐν βίῳ. Ὥσπερ ἂν ᾖ βασιλεύς,
worldly we-have-used as in life as if there-be (a)-king
καὶ εὕρῃ τινὰ ἐνδεῆ, καὶ ἔχοντα πάθη, καὶ μὴ ἐπαισχυνθῇ
and he-find someone needy and having sufferings and not be-ashamed-of
αὐτόν, ἀλλὰ φαρμάκοις ἰαματικοῖς θεραπεύσῃ αὐτοῦ τὰ
him but with-medicines healing cure his the
τραύματα, καὶ ἀπενέγκῃ αὐτὸν εἰς τὸ ἑαυτοῦ παλάτιον,
wounds and carry-off him into the his-own palace
καὶ ἐνδύσῃ αὐτὸν τὴν πορφυρίδα καὶ τὸ διάδημα, καὶ
and clothe him (in)-the purple and the diadem and
ποιήσῃ αὐτὸν κοινωνὸν τῆς τραπέζης αὐτοῦ· οὕτως καὶ ὁ
make him partner of-the table his thus also the
ἐπουράνιος βασιλεὺς Χριστός, ἐλθὼν πρὸς τὸν ἄνθρωπον
heavenly king Christ having-come to the man

ἔχοντα πάθη ἰάσατο, καὶ ἐποίησε κοινωνὸν τῆς βασιλικῆς
having sufferings healed(-him) and made(-him) partner of-the royal
αὐτοῦ τραπέζης· καὶ τοῦτο οὐ βιασάμενος τὸ θέλημα αὐτοῦ,
his table and this not having-forced the will his
ἀλλὰ προτρεψάμενος αὐτὸν εἰς τὴν τοιαύτην ἵστησι τιμήν.
but having-urged him to the such he-sets honor
Καὶ γὰρ ἐν τῷ Εὐαγγελίῳ γέγραπται, ὅτι Ἀπέστειλε 31
and for in the Gospel it-is-written that sent
τοὺς ἑαυτοῦ δούλους ὁ κύριος, καλῶν τοὺς θέλοντας,
the his-own servants the lord calling the(-ones) willing
δηλώσας αὐτοῖς, ὅτι Τὸ ἄριστόν μου ἡτοίμασται·
having-made-known to-them that the breakfast my has-been-prepared
αὐτοὶ δὲ οἱ κεκλημένοι παρῃτήσαντο λέγοντες, ὃς μέν,
the-very but the(-ones) invited excused-themselves saying one indeed
Ἠγόρασα, φησί, ζεύγη βοῶν· ἄλλος, Γυναῖκα ἠρμοσάμην.
I-bought he-says yokes of-oxen another (a)-wife I-married
Ὁρᾷς ὅτι ὁ κλήτωρ ἕτοιμος, οἱ δὲ κληθέντες ἀντεῖπον.
you-see that the inviter (is)-ready the(-ones) but invited refused
Ἄρα αὐτοὶ ἑαυτῶν αἴτιοι γεγόνασι. Τοσοῦτον οὖν ἐστι τὸ
so they of-themselves causes have-become so-great then is the
ἀξίωμα τῶν Χριστιανῶν. Βλέπε ὅτι ὁ Κύριος ἡτοίμασεν
dignity of-the Christians see that the Lord prepared
αὐτοῖς τὴν βασιλείαν, καὶ καλεῖ αὐτοὺς εἰσελθεῖν, αὐτοὶ δὲ
for-them the kingdom and calls them to-enter they but
οὐ θέλουσι. Πρὸς τὸ δόμα οὖν ὃ μέλλουσι κληρονομεῖν,
not wish compared-to the gift then which they-are-about to-inherit
τοῦτο ἄν τις ὀρθῶς εἴποι, Εἰ ἕκαστος ἀφ' οὗ ἐκτίσθη
this — someone rightly would-say if each from when was-created
ὁ Ἀδάμ, ἕως τῆς συντελείας τοῦ κόσμου, ἐπολέμει πρὸς
— Adam until the consummation of-the world fought against
τὸν Σατανᾶν, καὶ ὑπέμεινε τὰς θλίψεις, οὐδὲν μέγα
— Satan and endured the afflictions nothing great

ἐποίει πρὸς τὴν δόξαν ἣν μέλλει κληρονομεῖν.
he-would-do compared-to the glory which he-is-about to-inherit
Συμβασιλεύσει γὰρ εἰς τοὺς ἀπεράντους αἰῶνας μετὰ
he-will-reign-with for for the boundless ages with
Χριστοῦ. Δόξα τῷ οὕτως ἀγαπήσαντι τὴν τοιαύτην
Christ glory to-the(-one) thus having-loved the such
ψυχήν, ὅτι αὐτὸν αὐτὸς καὶ τὴν χάριν αὐτοῦ ἔδωκε, καὶ
soul that himself he and the grace his gave and
ἐνεπίστευσε τῇ ψυχῇ. Δόξα τῇ μεγαλωσύνῃ αὐτοῦ.
entrusted to-the soul glory to-the majesty his
32 Κατὰ τὰ φαινόμενα πράγματα, ἰδοὺ πάντες οἱ
as-to the visible matters behold all the(-ones)
καθεζόμενοι ἀδελφοὶ μίαν εἰκόνα ἔχομεν, καὶ ἓν πρόσωπον
sitting brothers one image we-have and one face
τοῦ Ἀδάμ· ἄρα καὶ εἰς τὸ κρυπτόν, καὶ εἰς τὰ ἐνδότατα
— of-Adam so also in the hidden and in the innermost
πράγματα, μία ἐστὶν ἡ προαίρεσις πάντων; καὶ μία καρδία;
matters one is the choice of-all and one heart
πάντες ἄρα ἕν ἐσμεν, ἀγαθοὶ καὶ θεοσεβεῖς. Ἢ ἄρα εἰσί
all then one we-are good and God-fearing or then are-there
τινες ἐξ ἡμῶν, ὅτι οἱ μὲν κοινωνοῦσι Χριστῷ καὶ τοῖς
some of us that the(-ones) indeed share-with Christ and the
ἀγγέλοις αὐτοῦ, οἱ δὲ τῷ Σατανᾷ καὶ τοῖς δαίμοσι· καὶ
angels his the(-ones) but — with-Satan and the demons and
ὅλοι ὡς εἷς φαινόμενοι ὁμοῦ καθεζόμεθα· ἓν πρόσωπον τοῦ
all as one appearing together we-sit one face —
Ἀδὰμ πάντες ἔχομεν. Ὁρᾷς πῶς ἄλλοτί ἐστιν ἡ νοερὰ
of-Adam all we-have you-see how different is the intellectual
οὐσία, ὁ ἔσω ἄνθρωπος, παρὰ τὸν ἔξω; ὅτι εἷς φαινόμεθα οἱ
being the inner man from the outer that one we-appear the
πάντες· καὶ οἱ μὲν μετὰ τοῦ Χριστοῦ καὶ τῶν ἀγγέλων
all and the(-ones) indeed with — Christ and the angels

εἰσίν· οἱ δὲ μετὰ τοῦ Σατανᾶ καὶ τῶν ἀκαθάρτων
are the(-ones) but with — Satan and the unclean
πνευμάτων. Εἰ οὖν ἡ καρδία βάθος τι ἔχει ἀπέραντον,
spirits if then the heart depth some has boundless
ἐκεῖ εἰσι τρίκλινοι, καὶ κοιτῶνες, θύραι, καὶ πρόθυρα, καὶ
there are dining-rooms and bedchambers doors and porches and
διακονίαι πολλαί, καὶ διέξοδοι. Ἐκεῖ ἐστι τὸ ἐργαστήριον
services many and passages there is the workshop
τῆς δικαιοσύνης, καὶ ἀδικίας· ἐκεῖ ὁ θάνατος· ἐκεῖ ἐστιν
of-the righteousness and unrighteousness there the death there is
ἡ ζωή· ἐκεῖ ἐστιν ἡ ἀγαθὴ ἐμπορία, καὶ ἡ ἐναντία.
the life there is the good trade and the opposite
Ὥσπερ ἐὰν ᾖ παλάτιον μέγιστον, καὶ τοῦτο ἐρημωθῇ, 33
as if there-be (a)-palace very-great and this be-made-desolate
καὶ πληρωθῇ πάσης δυσωδίας, καὶ νεκρῶν πολλῶν·
and be-filled with-all stench and dead(-bodies) many
οὕτω καὶ τὸ παλάτιον τοῦ Χριστοῦ ἡ καρδία ἐστί,
thus also the palace — of-Christ the heart is
καὶ γέμει πάσης ἀκαθαρσίας, καὶ ὄχλων πολλῶν
and is-full of-all uncleanness and crowds many
πονηρῶν πνευμάτων Χρὴ οὖν τοῦτο ἀνακτισθῆναι,
of-evil spirits (it)-is-needful then this to-be-rebuilt
καὶ ἀνοικοδομηθῆναι, καὶ εὐτρεπισθῆναι τὰ ταμεῖα, καὶ
and to-be-built-up-again and to-be-made-ready the storerooms and
τὰ κουβούκλεια. Ἐκεῖ γὰρ ὁ βασιλεὺς Χριστὸς μετὰ τῶν
the chambers there for the king Christ with the
ἀγγέλων, καὶ τῶν ἁγίων πνευμάτων ἔρχεται ἐπαναπαῆναι,
angels and the holy spirits comes to-rest
καὶ οἰκῆσαι, καὶ ἐμπεριπατῆσαι, καὶ θεῖναι τὴν ἑαυτοῦ
and to-dwell and to-walk-about and to-set the his-own
βασιλείαν. Λέγω δέ, ὥσπερ ἐὰν ᾖ πλοῖον ἔχον πολλὴν
kingdom I-say and as if there-be (a)-ship having much

κατασκευήν, ἐκεῖ ὁ κυβερνήτης διοικεῖ τοὺς πάντας, καὶ
equipment there the helmsman manages the(-men) all and
οἰκονομεῖ, τοῖς μὲν ἐπιπλήττων, ἄλλους δὲ ὁδηγῶν·
orders(-them) the(-ones) indeed rebuking others and guiding
οὕτως ἐστὶ καὶ ἡ καρδία ἔχουσα τὸν νοῦν κυβερνήτην,
thus is also the heart having the mind (as)-helmsman
τὴν συνείδησιν ἐλέγχουσαν, λογισμοὺς κατηγοροῦντας
the conscience reproving thoughts accusing
καὶ ἀπολογουμένους· λέγει γάρ· Μεταξὺ ἀλλήλων τῶν
and defending says for between one-another the
λογισμῶν κατηγορούντων, ἢ καὶ ἀπολογουμένων.
thoughts accusing or also defending
34 Ὁρᾷς ὅτι ἡ συνείδησις οὐ συγκρίνει τοὺς τοιούτους
you-see that the conscience not agrees-with the such
λογισμοὺς τοὺς ὑπακούοντας τῇ ἁμαρτίᾳ, ἀλλ' εὐθὺς
thoughts the(-ones) obeying the sin but immediately
ἐλέγχει. Οὐ ψεύδεται γάρ, ἐπεὶ τί εἴποι ἐνώπιον τοῦ
reproves(-them) not it-lies for else what would-it-say before —
Θεοῦ ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως, μαρτύρεται, ὡς πάντοτε
God in the day of-the judgment it-bears-witness as always
ἐλέγχουσα. Ὥσπερ ἐὰν ᾖ ἅρμα καὶ ἡνίαι, τὰ ζῶα,
reproving as if there-be (a)-chariot and reins the animals
καὶ πᾶσα ἡ κατασκευὴ ὑπὸ ἕνα ἡνίοχόν ἐστι, λοιπόν, ὅτε
and all the equipment under one charioteer is henceforth when
θέλει ἐκεῖνος, ὀξυτάτῃ ὁρμῇ φέρεται ὑπὸ τοῦ ἅρματος·
wishes that(-one) with-sharpest impulse he-is-carried by the chariot
ὅτε δὲ θέλει, ἐπέχει αὐτό· πάλιν ὅπου θέλει μετατρέψαι
when but he-wishes he-checks it again where he-wishes to-turn
αὐτό, ἐκεῖ αὐτὸ συνέρχεται· ὅλον οὖν τὸ ἅρμα ἐν τῇ
it there it comes-together whole then the chariot in the
ἐξουσίᾳ τοῦ ἡνιοχοῦντος κεῖται· οὕτως καὶ ἡ καρδία
power of-the(-one) driving lies thus also the heart

ἔχει πολλοὺς λογισμοὺς φυσικούς, συνδεδεμένους αὐτῇ, καὶ
has many thoughts natural bound-together with-it and
ὁ νοῦς ἐστι καὶ ἡ συνείδησις ἐπιτιμῶσα καὶ κατευθύνουσα
the mind is and the conscience rebuking and directing
τὴν καρδίαν, καὶ διϋπνίζουσα τοὺς φυσικοὺς βρύοντας ἐν
the heart and awakening the natural(-thoughts) gushing in
τῇ καρδίᾳ. Μέλη γὰρ πολλὰ ἔχει ψυχή, κἂν μία ἐστίν.
the heart members for many has (the)-soul even-though one it-is
Ἀφ' οὗ γὰρ παρέβη ὁ Ἀδὰμ τὴν ἐντολήν, ἐπεισελθὼν 35
from when for transgressed — Adam the commandment having-crept-in
ὁ ὄφις δεσπότης γέγονε τοῦ οἴκου, καὶ ὡς ψυχὴ ἑτέρα
the serpent master has-become of-the house and as (a)-soul other
μετὰ τῆς ψυχῆς ἐστι. Λέγει γὰρ ὁ Κύριος· Πᾶς ὅστις
with the soul is says for the Lord everyone who
οὐκ ἀρνεῖται ἑαυτόν, καὶ οὐ μισεῖ τὴν ἑαυτοῦ ψυχήν,
not denies himself and not hates the his-own soul
οὐκ ἔστι μου μαθητής· καί· Ὁ ἀγαπῶν τὴν ψυχὴν
not is my disciple and the(-one) loving the soul
αὐτοῦ, ἀπολέσει αὐτήν. Ἐπεὶ ἡ ἁμαρτία ἐπεισελθοῦσα τῇ
his will-lose it since the sin having-crept-into the
ψυχῇ, μέλος αὐτῆς γέγονε, καὶ αὐτῷ τῷ σωματικῷ
soul (a)-member of-it has-become and to-the-very the bodily
ἀνθρώπῳ κεκόλληται, καὶ βρύουσι πολλοὶ καὶ ἀκάθαρτοι
man has-been-glued and gush many and unclean
λογισμοὶ ἐν τῇ καρδίᾳ. Ὁ οὖν ποιῶν τὰ θελήματα
thoughts in the heart the(-one) then doing the wills
τῆς ψυχῆς αὐτοῦ, τὰ θελήματα τῆς καρδίας ποιεῖ·
of-the soul his the wills of-the heart does
ἐπειδὴ συμπέπλεκται καὶ συγκέκραται ἡ ψυχή. Ὁ οὖν
since is-interwoven and is-mingled the soul the(-one) then
ὑποτάσσων τὴν ψυχὴν ἑαυτοῦ, καὶ ὀργιζόμενος ἑαυτῷ καὶ
subjecting the soul his-own and being-angry with-himself and

ταῖς συνούσαις αὐτῷ ἐπιθυμίαις, οὕτως ἐστίν, ὡς ὁ
with-the present in-him lusts so is as the(-one)
ὑποτάσσων πόλιν ἐχθρῶν αὐτοῦ, καὶ οὗτος καταξιοῦται
subjecting (a)-city of-enemies his and this(-one) is-deemed-worthy
ἐλθεῖν εἰς μέτρα ἀγαθὰ Πνεύματος, καὶ ἀπολαμβάνει διὰ
to-come to measures good of-Spirit and receives through
τῆς θείας δυνάμεως τὸν καθαρὸν ἄνθρωπον, καὶ γίνεται
the divine power the pure man and becomes
ἑαυτοῦ μείζων. Ἀποθεοῦται γὰρ λοιπὸν ὁ τοιοῦτος, καὶ
than-himself greater is-deified for henceforth the such(-man) and
γίγνεται υἱὸς Θεοῦ, λαμβάνων τὸ οὐράνιον σίγνον ἐν
becomes (a)-son of-God receiving the heavenly sign in
τῇ ψυχῇ αὐτοῦ. Οἱ γὰρ ἐκλεκτοὶ αὐτοῦ χρίονται τὸ
the soul his the for elect his are-anointed (with)-the
ἁγιαστικὸν ἔλαιον, καὶ γίγνονται ἀξιωματικοὶ καὶ βασιλεῖς.
sanctifying oil and become dignitaries and kings
36 Ἔχει γὰρ τὴν φύσιν ὁ ἄνθρωπος τοιαύτην, καὶ ὁ ὢν
has for the nature the man such also the(-one) being
ἐν βάθει τῆς κακίας, καὶ δουλεύων τῇ ἁμαρτίᾳ, τοῦ
in (the)-depth of-the vice and slaving to-the sin of-the
τραπῆναι ἐπὶ τὸ ἀγαθόν· καὶ ὁ δεδεμένος Πνεύματι
to-turn to the good and the(-one) bound by-Spirit
ἁγίῳ, καὶ μεμεθυσμένος εἰς τὰ ἐπουράνια, ἔχει ἐξουσίαν τοῦ
holy and drunk with the heavenly(-things) has authority of-the
τραπῆναι ἐπὶ τὸ κακόν. Ὥσπερ ἵνα ἡ γυνὴ ἱμάτια ῥακώδη
to-turn to the evil as if the woman garments ragged
περιβεβλημένη, λιμώσσουσα, ἐῤῥυπωμένη, καὶ αὐτὴ μετὰ
wrapped-in starving soiled even she with
πολλοῦ καμάτου ἔλθῃ εἰς ἀξίωμα βασιλικόν, καὶ ἐνδύσηται
much labor come to dignity royal and put-on
πορφύραν καὶ στέφανον, καὶ γένηται νύμφη βασιλέως, αὐτὴ
purple and (a)-crown and become bride of-(a)-king she

μέμνηται τῆς προτέρας ῥυπαρίας, καὶ ἔχει θέλημα ἐπανελθεῖν
remembers the former filth and has (the)-will to-go-back
εἰς τὸ ἀρχαῖον, ἀλλ᾽ οὐχ αἱρεῖται εἰς τὴν προτέραν αἰσχύνην
to the old but not she-chooses into the former shame
ἐλθεῖν· μωρὸν γάρ ἐστι· καὶ αὐτοὶ δὲ οἱ γευσάμενοι τῆς
to-come foolish for it-is and the-very too the(-ones) having-tasted the
χάριτος τοῦ Θεοῦ, καὶ μέτοχοι ὄντες τοῦ Πνεύματος, ἐὰν μὴ
grace — of-God and partakers being of-the Spirit unless —
ἀσφαλίσωνται, κατασβέννυνται, καὶ γίνονται χείρους οὗ
they-secure(-themselves) are-quenched and become worse than-what
ἦσαν, κοσμικοὶ ὄντες· οὐχ ὅτι ὁ Θεὸς τρεπτός ἐστι καὶ
they-were worldlings being not that — God changeable is and
ἀσθενής, ἢ τὸ Πνεῦμα σβέννυται, ἀλλ᾽ αὐτοὶ οἱ ἄνθρωποι
weak or the Spirit is-quenched but the-very the men
οὐ συμφωνοῦσι τῇ χάριτι· διὰ τοῦτο ἐκτρέπονται καὶ
not agree with-the grace because-of this they-turn-aside and
πίπτουσιν εἰς μυρία κακά. Οἱ γὰρ γευσάμενοι ἐκείνης
fall into countless evils the(-ones) for having-tasted that
τῆς δωρεᾶς, ἔχουσι τὰ ἀμφότερα συνόντα αὐτοῖς, χαρὰν
the gift have the both present with-them joy
καὶ παράκλησιν, φόβον καὶ τρόμον, ἀγαλλίασιν καὶ πένθος.
and consolation fear and trembling exultation and mourning
Πενθοῦσι γὰρ ἑαυτοὺς καὶ ὅλον τὸν Ἀδάμ, ἐπειδὴ μία ἐστὶν
they-mourn for themselves and whole — Adam since one is
ἡ φύσις τῶν ἀνθρώπων· καὶ τὰ δάκρυα τῶν τοιούτων
the nature of-the men and the tears of-the such
ἄρτος ἐστί, καὶ τὸ πένθος γλυκύτης καὶ ἀνάπαυσις.
bread is and the mourning sweetness and rest
Ἐὰν δὲ ἴδῃς τινὰ ἐπηρμένον καὶ τετυφωμένον ὡς μέτοχον 37
if but you-see someone exalted and puffed-up as partaker
ὄντα τῆς χάριτος, οὗτος ἐὰν καὶ σημεῖα ποιήσῃ, καὶ
being of-the grace this(-one) if even signs he-do and

νεκροὺς ἐγείρῃ, μὴ ἔχῃ δὲ τὴν ψυχὴν αὐτοῦ ἄτιμον καὶ
dead raise not have but the soul his dishonored and
ἐξουδενουμένην, καὶ ᾖ πτωχὸς τῷ πνεύματι καὶ βδελυκτός,
set-at-naught and be poor in-the spirit and loathsome
κλέπτεται ὑπὸ τῆς κακίας καὶ οὐκ οἶδε· καὶ εἰ ποιεῖ
he-is-robbed by the vice and not knows(-it) and if he-does
σημεῖα, οὐκ ἔστιν αὐτῷ πιστεῦσαι· τὸ γὰρ σημεῖον τοῦ
signs not it-is-(right) him to-believe the for sign of-the
Χριστιανισμοῦ τοῦτό ἐστι, τὸ ὄντα τινὰ δόκιμον τοῦ
Christianity this is the being someone approved —
Θεοῦ, σπουδάζειν λανθάνειν ἀνθρώπους. Καὶ εἰ ἔχει
of-God to-strive to-escape-the-notice-of men and if he-has
ὅλους τοὺς θησαυροὺς τοῦ βασιλέως, κρύπτειν αὐτούς, καὶ
all the treasures of-the king to-hide them and
πάντοτε λέγειν ὅτι Οὐκ ἔστιν ἐμός, ἄλλος μοι παρέθετο
always to-say that not it-is mine another to-me entrusted
τὸν θησαυρὸν τοῦτον· ἐγὼ γὰρ πτωχός εἰμι. Καὶ ὅτε θέλει,
the treasure this I for poor am and when he-wishes
λαμβάνει αὐτὸν ἀπ᾽ ἐμοῦ. Εἰ δέ τις λέγει, Πλούσιός
he-takes it from me if but someone says rich
εἰμι, ἀρκεῖ, ἐκτησάμην, οὐκέτι χρῄζω, ὁ τοιοῦτος οὐκ ἔστι
I-am it-suffices I-have-acquired no-longer I-need the such(-man) not is
Χριστιανός, ἀλλὰ σκεῦός ἐστι τῆς πλάνης καὶ τοῦ διαβόλου.
(a)-Christian but (a)-vessel is of-the error and of-the devil
Ἡ γὰρ ἀπόλαυσις τοῦ Θεοῦ ἀκόρεστός ἐστι, καὶ ὅσον
the for enjoyment — of-God insatiable is and as-much-as
αὐτοῦ γεύεταί τις καὶ ἐσθίει, τοσοῦτον ἔκπεινος γίγνεται.
of-him tastes someone and eats so-much hungry he-becomes
Καὶ τὴν καῦσιν καὶ τὸν ἔρωτα πρὸς τὸν Θεὸν ἔχουσιν
and the burning and the love toward — God they-have
ἀκατάσχετον οἱ τοιοῦτοι· καὶ ὅσῳ σπουδάζουσι προκόπτειν,
irrepressible the such(-men) and the-more they-strive to-advance

καὶ ἐπιπορίζειν, τοσοῦτον ἑαυτοὺς ἡγοῦνται πτωχούς, ὡς
and to-acquire-more so-much themselves they-consider poor as
ἐνδεεῖς καὶ μηδὲν κεκτημένους· τοῦτο γὰρ λέγουσιν, ὅτι
needy and nothing having-acquired this for they-say that
Οὐκ εἰμι ἄξιος, ἵνα οὗτος ὁ ἥλιος ἐπιλάμψῃ μοι. Τοῦτό
not I-am worthy that this the sun should-shine-on me this
ἐστι τὸ σημεῖον τοῦ Χριστιανισμοῦ, αὐτὴ ἡ ταπείνωσις.
is the sign of-the Christianity the-very the humility
Εἰ δέ τις λέγει ὅτι Ἀρκοῦμαι καὶ πεπλήρωμαι, οὗτος 38
if but someone says that I-am-content and I-am-filled this(-man)
πλάνος ἐστὶ καὶ ψεύστης. Ὥσπερ τὸ σῶμα τοῦ Κυρίου
(a)-deceiver is and liar as the body of-the Lord
ἐδοξάσθη, ὅτε ἀνῆλθεν εἰς τὸ ὄρος, καὶ μετεμορφώθη εἰς
was-glorified when he-went-up onto the mountain and was-transfigured into
τὴν θεϊκὴν δόξαν, καὶ εἰς τὸ φῶς τὸ ἄπειρον, οὕτως καὶ
the divine glory and into the light the infinite thus also
τὰ σώματα τῶν ἁγίων δοξάζεται καὶ ἐξαστράπτει. Ὡς γὰρ
the bodies of-the saints are-glorified and flash-like-lightning as for
ἔσωθεν ἡ δόξα τοῦ Χριστοῦ οὕτω ἐφηπλώθη τῷ σώματι
within the glory — of-Christ thus was-spread-over the body
αὐτοῦ καὶ ἐξέλαμψε· τὸν αὐτὸν τρόπον κἀν τοῖς ἁγίοις,
his and shone-forth the same way also-in the saints
ἡ ἔσωθεν οὖσα τοῦ Χριστοῦ δύναμις, ἐν ἐκείνῃ τῇ ἡμέρᾳ
the within being — of-Christ power in that the day
ἔξωθεν εἰς τὰ σώματα αὐτῶν ὑπερεκχεῖται. Καὶ γὰρ ἐκ
outwardly upon the bodies their is-poured-out and for from
τῆς αὐτοῦ οὐσίας καὶ φύσεως ἀπὸ τοῦ νῦν μετέχουσιν ἐν
the his substance and nature from the now they-partake in
τῷ νῷ αὐτῶν. Γέγραπται γάρ· Ὁ τε ἁγιάζων, καὶ
the mind their it-is-written for the(-one) both sanctifying and
οἱ ἁγιαζόμενοι ἐξ ἑνός. Καί· Δόξαν ἣν δέδωκάς
the(-ones) being-sanctified (are)-from one and (the)-glory which you-have-given

μοι, δέδωκα αὐτοῖς. Ὥσπερ ἀπὸ ἑνὸς πυρὸς ἅπτονται
me I-have-given to-them as from one fire are-lit
λύχνοι πολλοί, ἀνάγκη καὶ τὰ σώματα τῶν ἁγίων μέλη
lamps many (it-is)-necessary also the bodies of-the saints members
Χριστοῦ ὄντα, τὸ αὐτὸ γίγνεσθαι ὅπερ ἐστὶν ὁ Χριστός.
of-Christ being the same to-become which is — Christ
39 Ἐρώτησις. Πῶς ἀνώτεροι γίγνονται οἱ Χριστιανοὶ τοῦ
question how higher become the Christians than-the
πρώτου Ἀδάμ; ἐκεῖνος γὰρ ἀθάνατος ἦν, καὶ ψυχὴν καὶ
first Adam that(-one) for immortal was and in-soul and
σῶμα ἄφθαρτος· οἱ δὲ ἀποθνήσκουσι καὶ φθείρονται.
body incorruptible they but die and are-corrupted
Ἀπόκρισις. Ὁ ἀληθινὸς θάνατος ἔνδον ἐστὶν ἐν τῇ καρδίᾳ, καὶ
answer the true death within is in the heart and
κέκρυπται, καὶ ὁ ἄνθρωπος ὁ ἔσω νενέκρωται· εἴ τις οὖν
is-hidden and the man the inner has-been-deadened if someone then
μεταβέβηκεν ἐκ τοῦ θανάτου εἰς τὴν ζωὴν κατὰ τὸ κρυπτόν,
has-passed from the death into the life in the hidden
οὗτος ἀληθῶς εἰς τοὺς αἰῶνας ζῇ, καὶ οὐκ ἀποθνήσκει.
this(-man) truly for the ages lives and not dies
Ἀλλ' εἰ καὶ τὰ σώματα τῶν τοιούτων λύεται πρὸς καιρόν,
but if even the bodies of-the such(-men) are-dissolved for (a)-time
ἐγείρεται αὖθις ἐν δόξῃ· ἡγιασμένα γάρ εἰσιν. Ὕπνον οὖν
they-are-raised again in glory sanctified for they-are sleep then
λέγομεν καὶ κοίμησιν τῶν Χριστιανῶν τὸν θάνατον. Εἰ δὲ
we-call and falling-asleep of-the Christians the death if but
ἀθάνατος ἦν ὁ ἄνθρωπος, καὶ κατὰ τὸ σῶμα ἄφθαρτος,
immortal were the man and in the body incorruptible
βλέπων ὅλος ὁ κόσμος τὸ παράδοξον τοῦ πράγματος, ὅτι
seeing whole the world the paradox of-the matter that

μὴ φθείρονται τὰ σώματα τῶν Χριστιανῶν, ἀνάγκῃ τοίνυν
not are-corrupted the bodies of-the Christians by-necessity therefore
τινί, ἀλλ᾽ οὐχ ἑκουσίᾳ γνώμῃ πρὸς τὸ ἀγαθὸν ἀνήρχετο.
some but not by-voluntary judgment to the good it-would-have-gone-up
Ἀλλ᾽ ἵνα φανῇ καθάπαξ καὶ διαμείνῃ τὸ αὐτεξούσιον, 40
but that may-appear once-for-all and may-remain the self-determination
ὅπερ ἐξ ἀρχῆς ὁ Θεὸς ἔδωκε τῷ ἀνθρώπῳ, τούτου
which from (the)-beginning — God gave to-the man for-this(-reason)
οἰκονομικῶς τὰ πράγματα διοικεῖται, καὶ γίγνεται λύσις
by-dispensation the matters are-ordered and happens (a)-dissolution
σωμάτων, ἵνα ἐν τῷ θελήματι τοῦ ἀνθρώπου ᾖ τὸ
of-bodies that in the will of-the man be the
τραπῆναι αὐτὸν ἐπὶ τὸ ἀγαθὸν ἢ τὸ κακόν. Οὔτε γὰρ
to-turn him to the good or the evil neither for
ὁ τέλειος εἰς τὸ ἀγαθόν, ἢ βαθὺς εἰς τὴν ἁμαρτίαν,
the perfect in the good or deep in the sin
καὶ ποιῶν ἑαυτὸν σκεῦος τοῦ διαβόλου, ὑφ᾽ οὗ τὸ ὅλον
and making himself (a)-vessel of-the devil by whom the whole
κατεκρίθη, εἰς τὸ κακὸν ἀνάγκῃ τινὶ δέδεται· ἀλλ᾽ ἔχει
was-condemned to the evil by-necessity some is-bound but has
τὴν ἐλευθερίαν τοῦ γενέσθαι σκεῦος ἐκλογῆς καὶ ζωῆς.
the freedom of-the to-become (a)-vessel of-election and of-life
Ὁμοίως πάλιν οἱ μεμεθυσμένοι εἰς τὴν θεότητα, καίτοι
likewise again the(-ones) drunk with the divinity although
πεπληρωμένοι καὶ δεδεμένοι Πνεύματι ἁγίῳ, οὐκ ἀνάγκῃ
filled and bound by-Spirit holy not by-necessity
τινὶ κεκράτηνται, ἀλλ᾽ ἔχουσι τὸ αὐτεξούσιον τοῦ τραπῆναι
some are-held but have the self-determination of-the to-turn
αὐτούς, καὶ ποιεῖν ὃ θέλουσιν εἰς τὸν αἰῶνα τοῦτον.
themselves and to-do what they-wish in the age this

41 Ἐρώτησις. Κατὰ μέρος λεπτύνεται τὸ κακόν, καὶ
question by part is-thinned the evil and
ἐκριζοῦται, καὶ προκόπτει εἰς τὴν χάριν ὁ ἄνθρωπος, ἢ
uprooted and advances in the grace the man or
εὐθέως, εἰ τύχοι προκοπῆς, ἐκριζοῦται τὸ κακόν;
at-once if he-obtain advance is-uprooted the evil
Ἀπόκρισις. Καθάπερ τὸ ἔμβρυον ἐν τῇ μήτρᾳ οὐκ εὐθέως
answer as the embryo in the womb not at-once
πήγνυται εἰς ἄνθρωπον, ἀλλὰ κατὰ μέρος γίγνεται εἰκὼν
is-set into (a)-man but by part becomes (an)-image
καὶ γεννᾶται, οὐχ ἤδη δέ ἐστι τέλειος ἄνθρωπος, ἀλλ'
and is-born not already but he-is perfect man but
αὐξάνει ἐν ἔτεσι πολλοῖς, καὶ γίγνεται ἀνήρ· ἔστι δὲ
grows in years many and becomes (a)-man it-is and
ὥσπερ τὰ σπέρματα τῶν κριθῶν ἢ τοῦ σίτου, οὐκ εὐθέως
as the seeds of-the barley or of-the wheat not at-once
βαλλόμενα εἰς τὴν γῆν ῥιζοῖ, ἀλλὰ παρέρχονται χειμῶνες
cast into the earth take-root but pass winters
καὶ ἄνεμοι, καὶ τότε τῷ δέοντι καιρῷ γίγνονται στάχυες·
and winds and then in-the due season become ears
καὶ ὁ φυτεύων ἄπιον, οὐκ εὐθέως μεταλαμβάνει τὸν
and the(-one) planting (a)-pear-tree not at-once partakes-of the
καρπόν· ὡσαύτως κἀν τοῖς πνευματικοῖς, ὅπου τοσαύτη
fruit likewise also-in the spiritual(-things) where so-great
σοφία καὶ λεπτότης, κατὰ μικρὸν ὁ ἄνθρωπος αὐξάνει,
wisdom and subtlety by little the man grows
καὶ γίνεται εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας· οὐχ
and becomes into (a)-man perfect to (the)-measure of-stature not
ὥσπερ τινὲς λέγουσιν· Ἔνδυσαι, ἔκδυσαι.
as some say put-on put-off

Ὁ θέλων μαθεῖν γράμματα ἀπέρχεται καὶ μανθάνει τὰ 42
the(-one) wishing to-learn letters goes-off and learns the
σημεῖα, καὶ ὅταν γένηται ἐκεῖ πρῶτος, ἀπέρχεται εἰς τὴν
signs and when he-becomes there first he-goes-off to the
σχολὴν τῶν Ῥωμαϊκῶν, καὶ ἔστιν ὅλων ἔσχατος. Πάλιν
school of-the Latin(-letters) and is of-all last again
ἐκεῖ ὅταν γένηται πρῶτος, ἀπέρχεται πρὸς τὴν σχολὴν
there when he-becomes first he-goes-off to the school
τῶν γραμμάτων, καὶ ἔστι πάλιν ἐκεῖ ὅλων ἔσχατος,
of-the grammar and is again there of-all last
ἀρχάριος. Εἶτα ὅταν γένηται σχολαστικός, ὅλων τῶν
(a)-beginner then when he-becomes (a)-scholar of-all the
δικολόγων ἀρχάριος καὶ ἔσχατός ἐστι. Πάλιν ὅταν ἐκεῖ
advocates (a)-beginner and last he-is again when there
γένηται πρῶτος, τότε γίνεται ἡγεμών· καὶ ὅταν γένηται
he-becomes first then he-becomes governor and when he-becomes
ἄρχων, λαμβάνει ἑαυτῷ βοηθὸν τὸν συγκάθεδρον. Εἰ οὖν
ruler he-takes for-himself (as)-helper the assessor if then
τὰ φαινόμενα τοσαύτας ἔχει προκοπάς, πόσῳ μᾶλλον τὰ
the visible(-things) so-many have advances how-much more the
ἐπουράνια μυστήρια ἔχει προκοπάς, καὶ βαθμοὺς πολλοὺς
heavenly mysteries have advances and steps many
αὐξάνει! καὶ τότε διὰ πολλῆς γυμνασίας καὶ πολλῶν
it-grows and then through much exercise and many
πειρατηρίων ὁ διαφυγὼν γίνεται τέλειος. Οἱ γὰρ
trials the(-one) having-escaped becomes perfect the for
Χριστιανοὶ οἱ γευσάμενοι τῆς χάριτος ἐξ ἀληθείας, καὶ
Christians the(-ones) having-tasted the grace in truth and
τὸ σημεῖον ἔχοντες τοῦ σταυροῦ ἐν τῷ νῷ καὶ τῇ καρδίᾳ,
the sign having of-the cross in the mind and the heart
οὗτοι ἀπὸ βασιλέων ἕως πτωχῶν, κοπρίαν καὶ δυσωδίαν
these from kings to (the)-poor dung and stench

ἡγοῦνται τὰ πάντα. Καὶ οὗτοι δύνανται εἰδέναι, ὅτι ὅλος
consider the all(-things) and these can to-know that whole
ὁ κόσμος ὁ γήϊνος, καὶ οἱ θησαυροὶ τοῦ βασιλέως, καὶ ἡ
the world the earthly and the treasures of-the king and the
δόξα, καὶ οἱ τῆς σοφίας λόγοι, ἐν φαντασίᾳ τινί εἰσι, μὴ
glory and the of-the wisdom words in fantasy some are not
ἔχοντα στερεὰν βάσιν, ἀλλὰ παρερχόμενα. Καὶ εἴ τί
having firm foundation but passing-away and if anything
ἐστιν ὑπὸ τὸν οὐρανόν, τούτοις ἐστὶν εὐκαταφρόνητον.
is under the heaven to-these it-is contemptible
43 Διὰ τί; ὅτι ξένα καὶ θαυμαστὰ τὰ ἐπάνω τῶν
for what because strange and wonderful (are)-the(-things) above the
οὐρανῶν, τὰ μὴ ὄντα μήτε εἰς θησαυροὺς βασιλέων,
heavens the(-things) not being either in treasures of-kings
μήτε εἰς σοφίαν λόγων, μήτε εἰς δόξαν κοσμικήν, καὶ
or in wisdom of-words or in glory worldly and
ἀξιώματα, ἢ πλοῦτον, οἷον ἐκεῖνοι ἐκτήσαντο, τὸν Κύριον
dignities or wealth such-as those(-men) acquired the Lord
καὶ κτίστην πάντων ἔχοντες ἐν τῷ ἐνδοτάτῳ ἀνθρώπῳ,
and creator of-all having in the innermost man
κτῆμα τὸ μὴ παρερχόμενον, ἀλλὰ παραμένον. Οἱ
(a)-possession the(-one) not passing-away but abiding the
γὰρ Χριστιανοὶ τιμίαν οἴδασι τὴν ψυχὴν ὑπὲρ πάντα
for Christians precious know the soul beyond all
τὰ δημιουργήματα· μόνος γὰρ ὁ ἄνθρωπος κατ᾽ εἰκόνα
the works alone for the man after (the)-image
καὶ ὁμοίωσιν Θεοῦ ἐγένετο· ἰδοὺ ὁ οὐρανὸς πόσον ἐστὶν
and likeness of-God came-to-be behold the heaven how-much is
ὑπερμεγέθης, καὶ ἡ γῆ, καὶ τὰ ἐν αὐτοῖς κτίσματα τίμια,
huge and the earth and the in them creatures precious
καὶ μεγάλα τὰ σκεύη αὐτῶν, ὁ δὲ ἄνθρωπος ὑπὲρ πάντα
and great the vessels their the but man beyond all

τὰ σκεύη τίμιός ἐστιν, ἐπειδὴ εἰς αὐτὸν μόνον εὐδόκησεν ὁ
the vessels precious is since in him alone was-pleased the
Κύριος· καὶ τὰ κήτη δὲ τῆς θαλάσσης, καὶ τὰ ὄρη, καὶ
Lord and the sea-monsters too of-the sea and the mountains and
τὰ θηρία, εἰς τὸ φαινόμενον μείζονά εἰσι τοῦ ἀνθρώπου.
the beasts in the visible(-world) greater are than-the man
Βλέπε οὖν σου τὸ ἀξίωμα, πῶς εἶ τίμιος, ὅτι ὑπὲρ
see then your the dignity how you-are precious that above
ἀγγέλους ἐποίησέ σε ὁ Θεός, ὁπότε καὶ αὐτὸς δι᾽ ἑαυτοῦ
angels he-made you — God when also he-himself through himself
εἰς σὴν πρεσβείαν καὶ λύτρωσιν παρεγένετο ἐπὶ τῆς γῆς.
for your embassy and redemption came upon the earth
Ὅτε οὖν καὶ οἱ ἄγγελοι εἰς τὴν σὴν σωτηρίαν ἦλθον; 44
when then also the angels for the your salvation came
βασιλεὺς γὰρ υἱὸς βασιλέως συμβούλιον ἐποιήσατο μετὰ
(a)-king for son of-(a)-king counsel took with
τοῦ πατρὸς αὐτοῦ, καὶ ἀπεστάλη ὁ Λόγος, καὶ σάρκα
the father his and was-sent the Word and flesh
ἐνδυσάμενος, καὶ κρύψας τὴν ἑαυτοῦ θεότητα, ἵνα διὰ
having-put-on and having-hidden the his-own divinity that through
τοῦ ὁμοίου τὸ ὅμοιον σωθῇ, ἔθηκε τὴν ψυχὴν αὐτοῦ
the like the like might-be-saved he-laid-down the soul his
ἐπὶ τοῦ σταυροῦ. Τοσαύτη ἀγάπη τοῦ Θεοῦ ἐστι πρὸς
upon the cross so-great love — of-God is toward
τὸν ἄνθρωπον! Ἠρετίσατο ὁ ἀθάνατος σταυρωθῆναι διὰ
the man chose the immortal(-one) to-be-crucified for
σέ. Βλέπε οὖν πῶς ὁ Θεὸς ἠγάπησε τὸν κόσμον, ὅτι
you see then how — God loved the world that
τὸν μονογενῆ αὐτοῦ Υἱὸν ἔδωκεν ὑπὲρ αὐτοῦ. Πῶς οὐχὶ
the only-begotten his Son he-gave for it how not
σὺν αὐτῷ τὰ πάντα ἡμῖν χαρίσεται; καὶ πάλιν ἀλλαχοῦ
with him the all(-things) to-us will-be-bestow and again elsewhere

λέγει· Ἀμὴν λέγω ὑμῖν, ἐπὶ πᾶσι τοῖς ὑπάρχουσιν αὐτοῦ
he-says amen I-say to-you over all the possessions his
καταστήσει αὐτόν. Δείκνυσι δὲ καὶ ἀλλαχοῦ τοὺς ἀγγέλους
he-will-set him he-shows and also elsewhere the angels
λειτουργοὺς εἶναι τῶν ἁγίων· καὶ γὰρ Ἠλίας ὅτε ἦν εἰς
ministers to-be of-the saints and for Elijah when he-was on
τὸ ὄρος, καὶ ἦλθον κατ᾽ αὐτοῦ οἱ ἀλλόφυλοι, τὸ παιδίον
the mountain and came against him the foreigners the boy
ἔλεγε· Πολλοὶ ἔρχονται καθ᾽ ἡμῶν, καὶ ἡμεῖς μόνοι ἐσμέν.
said many come against us and we alone are
Τότε ἀποκρίνεται Ἠλίας· Οὐχ ὁρᾷς παρεμβολὰς καὶ πλήθη
then answers Elijah not do-you-see camps and multitudes
ἀγγέλων μεθ᾽ ἡμῶν κύκλῳ βοηθούντων ἡμῖν; Ὁρᾷς ὅτι ὁ
of-angels with us around helping us you-see that the
Δεσπότης, καὶ τὰ πλήθη τῶν ἀγγέλων σύνεστι τοῖς δούλοις
Master and the multitudes of-the angels are-with the servants
αὐτοῦ. Πόση οὖν ἐστιν ἡ ψυχή, καὶ πῶς τετίμηται ὑπὸ
his how-great then is the soul and how it-has-been-honored by
τοῦ Θεοῦ! ὅτι ὁ Θεὸς καὶ οἱ ἄγγελοι ταύτην ἐπιζητοῦσιν
— God that — God and the angels it seek
εἰς κοινωνίαν ἰδίαν, καὶ εἰς βασιλείαν. Ὁ δὲ Σατανᾶς καὶ
for communion own and for kingdom — but Satan and
αἱ δυνάμεις αὐτοῦ ταύτην ἐπιζητοῦσιν εἰς τὸ ἴδιον μέρος.
the powers his it seek for the own part
45 Ὡς γὰρ ἐν τοῖς φαινομένοις ὁ βασιλεὺς οὐ διακονεῖται
as for in the visible(-things) the king not is-served
ὑπὸ ἀγελημαίων ἀνθρώπων, ἀλλ᾽ ὑπὸ ὡραίων καὶ καλῶς
by common men but by lovely and well
πεπαιδευμένων, οὕτω καὶ εἰς τὸ ἐπουράνιον παλάτιον
educated(-ones) thus also in the heavenly palace
ἐκεῖνοι διακονοῦσι τῷ ἐπουρανίῳ βασιλεῖ, οἱ ἄμωμοι,
those serve the heavenly king the blameless

οἱ ἀνεπίληπτοι, οἱ καθαροὶ τὴν καρδίαν. Καὶ
the(-ones) irreproachable the(-ones) pure the heart and
ὥσπερ ἐν τῷ παλατίῳ, ὡραῖαι κόραι, καὶ μὴ ἔχουσαι
as in the palace lovely maidens and not having
μῶμόν τινα, εὐειδέσταται ἐκεῖναι εἰς κοινωνίαν βασιλέων
blemish any most-comely those to communion of-kings
ἀπέρχονται· οὕτως καὶ εἰς τὸ πνευματικόν, ψυχαὶ αἱ
go-off thus also in the spiritual(-world) souls the(-ones)
ἐν πᾶσι τρόποις ἀγαθοῖς κεκοσμημέναι, αὗται κοινωνοῦσι
in all ways good adorned these commune-with
τῷ ἐπουρανίῳ βασιλεῖ. Εἰς τὸ φαινόμενον, ὅπου ἀπέρχεται
the heavenly king in the visible(-world) where goes-off
ἄρχων μεῖναι, καὶ συμβαίνει ἐκείνην τὴν οἰκίαν ἔχειν
(a)-ruler to-stay and it-happens that the house to-have
ἀκαθαρσίαν τινά, εὐτρεπίζεται, καὶ διακόσμησις πολλὴ
uncleanness some it-is-made-ready and adornment much
γίνεται, καὶ ἀρώματα ἐκχεῖται. Πόσῳ μᾶλλον ὁ οἶκος τῆς
happens and perfumes are-poured-out how-much more the house of-the
ψυχῆς, εἰς ὃν ὁ Κύριος ἀναπαύεται, πολλῆς διακοσμήσεως
soul in which the Lord rests of-much adornment
χρῄζει, ἵνα δυνηθῇ ἐκεῖ εἰσελθεῖν καὶ ἀναπαῆναι ὁ
has-need that may-be-able there to-enter and to-rest the
ἄσπιλος, ὁ ἄμωμος! εἰς γὰρ τοιαύτην καρδίαν ὁ Θεός,
spotless the blameless(-one) in for such (a)-heart — God
καὶ ὅλη ἡ ἐπουράνιος Ἐκκλησία ἐπαναπαύεται.
and whole the heavenly Church rests
Ἐν τοῖς φαινομένοις, ἐὰν ἔχῃ πατὴρ κτήματα, ἔχῃ δὲ καὶ 46
in the visible(-things) if has (a)-father possessions have and also
διαδήματα καὶ λίθους τιμίους, ταῦτα εἰς οἴκους ἀποθέτους
diadems and stones precious these in houses secret
κρύπτει, καὶ ταμιεύεται τῷ ἀγαπητῷ αὐτοῦ υἱῷ, κἀκείνῳ
he-hides and stores-up for-the beloved his son and-to-him

δίδωσιν αὐτά· οὕτω καὶ ὁ Θεὸς τὴν ἑαυτοῦ κτῆσιν
gives them thus also — God the his-own possession
μετὰ τῶν ἰδίων τιμίων ἐνεπίστευσε τῇ ψυχῇ. Εἰς τὸ
with the own precious(-things) entrusted to-the soul in the
φαινόμενον, ἐὰν ᾖ πόλεμος, καὶ ἔλθῃ βασιλεὺς μετὰ τοῦ
visible(-world) if there-be war and comes (a)-king with the
στρατοπέδου ἐπὶ τὸ πολεμῆσαι, καὶ ὑπάρχῃ τὸ μέρος αὐτοῦ
army to the to-fight and be the side his
ἔλαττον, ἢ ἀσθενέστερον, εὐθέως ἀποστέλλει πρεσβείαν
smaller or weaker immediately he-sends (an)-embassy
ἐρωτᾶν τὰ πρὸς εἰρήνην. Εἰ δὲ ἔθνος μέγιστον πρὸς
to-ask the(-terms) for peace if but (a)-nation very-great to
ἴσον ᾖ, καὶ ὁ βασιλεὺς πρὸς βασιλέα, λέγω δὴ ὁ
(an)-equal be and the king against (a)-king I-mean indeed the(-king)
Περσῶν καὶ ὁ Ῥωμαίων, ἀνάγκη πᾶσα τοὺς δύο
of-(the)-Persians and the of-(the)-Romans necessity all (for)-the two
βασιλεῖς κινηθῆναι μετὰ τῶν στρατοπέδων ὅλων. Βλέπε
kings to-be-moved with the armies all see
οὖν οἷόν σού ἐστι τὸ ἀξίωμα, ὅτι ὁ Θεὸς ἐκινήθη μετὰ
then what-sort your is the dignity that — God was-moved with
τῶν ἰδίων στρατοπέδων, λέγω δὴ τῶν ἀγγέλων καὶ
the own armies I-mean indeed of-the angels and
πνευμάτων, συμβαλεῖν τῷ ἀντικειμένῳ, ἵνα σε λυτρώσηται
spirits to-engage the adversary that you he-might-redeem
ἐκ τοῦ θανάτου. Ὁ Θεὸς οὖν παρεγένετο διὰ σέ.
from the death — God then came for you

47 Ὥσπερ ἐὰν ᾖ βασιλεὺς καὶ εὕρῃ πτωχόν τινα ἔχοντα
as if there-be (a)-king and he-find poor-man some having
λέπραν εἰς ὅλα τὰ μέλη, καὶ μὴ ἐπαισχυνθῇ, ἀλλ' ἐπιθῇ
leprosy in all the members and not be-ashamed but lay-on
φάρμακα καὶ ἐν τοῖς τραύμασιν αὐτοῦ, καὶ ἰάσηται
medicines also on the wounds his and heal

αὐτοῦ τὰς πληγάς, καὶ λοιπὸν εἰς τράπεζαν βασιλικὴν
his the blows and henceforth to (the)-table royal
ἀπαγάγῃ αὐτόν, καὶ περιθῇ αὐτῷ πορφύραν, καὶ ποιήσῃ
bring him and put-around him purple and make
αὐτὸν βασιλέα· οὕτως καὶ ὁ Θεὸς ἐποίησε τῷ γένει
him king thus also — God did for-the race
τῶν ἀνθρώπων. Ἀπέπλυνεν αὐτῶν τραύματα, καὶ ἰάσατο
of-the men he-washed-off their wounds and healed
αὐτούς, καὶ εἰσήγαγεν εἰς τὸν ἐπουράνιον νυμφῶνα. Μέγα
them and brought(-them) into the heavenly bridal-chamber great
οὖν ἐστι τὸ ἀξίωμα τῶν Χριστιανῶν, τοσοῦτον, ὡς μηδὲ
then is the dignity of-the Christians so-great as not-even
συγκρίνειν ἔχειν.
to-compare to-be-able
Ἐὰν δὲ μετεωρισθῇ καὶ κλαπῇ ὑπὸ τῆς κακίας, ἔοικε
if but he-be-elated and be-robbed by the vice he-is-like
τοιούτῳ τινί, ὥσπερ ἐὰν ᾖ πόλις μὴ ἔχουσα τεῖχος,
to-such (a)-thing as if there-be (a)-city not having (a)-wall
καὶ οἱ λῃσταὶ εἰσέρχονται δι' αὐτῆς, ὅθεν θέλουσι, μὴ
and the robbers enter through it whence they-wish not
ἐμποδιζόμενοι, καὶ ἐρημοῦσι, καὶ ἐμπυρίζουσιν αὐτήν· οὕτως
hindered and lay-waste and set-fire-to it thus
ἀμελοῦντός σου, καὶ μὴ ἑαυτῷ προσέχοντος, ἐπεισέρχονται
being-negligent you and not to-yourself attending come-in
τὰ πνεύματα τῆς πονηρίας, καὶ ἀφανίζουσι καὶ ἐρημοῦσι τὸν
the spirits of-the wickedness and obliterate and lay-waste the
νοῦν, σκορπίζοντες τοὺς λογισμοὺς εἰς τὸν αἰῶνα τοῦτον.
mind scattering the thoughts into the age this
Πολλοὶ γὰρ περὶ τὰ ἔξωθεν ἠκριβωμένοι, καὶ ἐπιστήμην 48
many for about the(-things) outside exact and knowledge
ἀσκοῦντες, καὶ βίου ὀρθοῦ ἐπιμελούμενοι, τοῦτον νομίζουσιν
practicing and of-life upright taking-care this(-one) suppose

εἶναι τέλειον, μὴ ἐγκύπτοντες εἰς τὴν καρδίαν, καὶ ὁρῶντες
to-be perfect not stooping into the heart and seeing
τὰ ἐκεῖ συνέχοντα τὴν ψυχὴν κακά. Ἐπειδὴ κατὰ
the(-things) there holding-fast the soul evil since according-to
τὸν τῆς κακίας ἐσώτερον νοῦν, ῥίζα ἐστὶν ἐν τοῖς μέλεσιν·
the of-the vice inner mind (a)-root there-is in the members
καὶ ὁ λῃστὴς ἐν τῇ οἰκίᾳ ἐστί, τουτέστιν ἡ ἐναντία
and the robber in the house is that-is the opposing
δύναμις. Ἀντιστατικὴ οὖν καὶ νοερά ἐστι· καὶ ἐὰν μή τις
power resistant then and intellectual it-is and unless — someone
θῇ ἀγῶνα κατὰ τῆς ἁμαρτίας, κατὰ μέρος ὑπεκχεομένη
set contest against the sin by part pouring-forth
ἡ ἔσω κακία διὰ τὸν πλεονασμόν, φέρει τὸν ἄνθρωπον
the inner vice because-of the abundance carries the man
εἰς φανερὰς ἁμαρτίας, ἐπὶ τὸ κατεργάζεσθαι αὐτάς. Τὸ
into open sins to the to-commit them the
γὰρ κακὸν ὥσπερ πηγῆς ὀφθαλμός ἐστι πάντοτε βρύων.
for evil as of-(a)-spring (the)-eye is always gushing
Καὶ σὺ οὖν γίνου ἐπὶ τὸ ἐπισχεῖν τὰ ῥεύματα τῆς
and you then be at the to-check the streams of-the
κακίας, ἵνα μὴ εἰς μυρία κακὰ ἐμπίπτων ὡς θαμβούμενος
vice that not into countless evils falling as astounded
ᾖς. Ὅν τρόπον ἐὰν ᾖ τις εὐγενὴς ἀμέριμνος
you-be in-what way if there-be someone well-born carefree
πλούσιος· καὶ τοῦτον οἱ διάκονοι τοῦ ἄρχοντος καὶ οἱ
rich and him the servants of-the ruler and the
ταξεῶται ἁρπάσωσιν, ἀποφέροντες πρὸς αὐτόν, λέγοντες,
officers seize carrying(-him)-off to him saying
ὅτι κατηγορήθης ἐπὶ ἐγκλήματι, καὶ θανάτῳ ὑπόκεισαι.
that you-were-accused on (a)-charge and to-death you-are-liable

Λοιπὸν ἐκ τῆς φήμης τοῦ φόβου ἀπόλεσεν αὐτοῦ πάσας
henceforth from the report of-the fear he-lost his all
τὰς ἐνθυμήσεις, καὶ ὥσπερ τεθαμβημένος ἐστίν.
the reflections and as dumbfounded he-is
Ὑπολάμβανε οὖν οὕτως καὶ περὶ τῶν πνευμάτων τῆς 49
suppose then thus also about the spirits of-the
πονηρίας. Ὁ γὰρ φαινόμενος κόσμος ἀπὸ βασιλέων ἕως
wickedness the for visible world from kings to
πτωχῶν, ἐν θορύβῳ εἰσί, καὶ ἀκαταστασίᾳ, καὶ μάχῃ, καὶ
(the)-poor in uproar are and disorder and battle and
οὐδεὶς αὐτῶν οἶδε τὴν αἰτίαν· ἤγουν φαινόμενον τὸ κακόν,
no-one of-them knows the cause that-is visible the evil
τὸ παρεισελθὸν διὰ τῆς παρακοῆς τοῦ Ἀδάμ, τὸ
the(-evil) having-crept-in through the disobedience — of-Adam the
κέντρον τοῦ θανάτου. Ἡ γὰρ ἁμαρτία ἡ παρελθοῦσα,
sting of-the death the for sin the(-one) having-come-in
δύναμίς τις οὖσα λογικὴ τοῦ Σατανᾶ, καὶ οὐσία, ἐνέσπειρε
power some being rational — of-Satan and substance sowed
τὰ κακὰ πάντα· ἐπειδὴ λεληθότως εἰς τὸν ἔσω ἄνθρωπον
the evils all since secretly in the inner man
καὶ εἰς τὸν νοῦν ἐνεργεῖ, καὶ μάχεται τοῖς λογισμοῖς. Οὐκ
and in the mind it-works and battles with-the thoughts not
ἴσασι δὲ οἱ ἄνθρωποι, ὅτι ἀπὸ ἀλλοτρίας τινὸς δυνάμεως
know and the men that by alien some power
ἐλαυνόμενοι ταῦτα πράττουσιν, ἀλλὰ νομίζουσι φυσικὰ
being-driven these(-things) they-do but they-suppose natural
ταῦτα εἶναι, καὶ ἀπὸ ἰδίας φρονήσεως ταῦτα ποιεῖν. Οἱ
these to-be and from own prudence these to-do the(-ones)
δὲ τὴν εἰρήνην τοῦ Χριστοῦ ἔχοντες ἐν αὐτῷ τῷ νῷ,
but the peace — of-Christ having in the-very the mind
καὶ τὸν φωτισμὸν αὐτοῦ, ἴσασι πόθεν ταῦτα κινεῖται.
and the illumination his know whence these(-things) are-moved

50 Πάσχει γὰρ ὁ κόσμος πάθος κακίας, καὶ οὐκ οἶδε. Καὶ
suffers for the world (a)-passion of-vice and not knows(-it) and
ἔστι πῦρ ἀκάθαρτον, ὅπερ ἀνάπτει τὴν καρδίαν, καὶ οὕτω
there-is (a)-fire unclean which kindles the heart and thus
διατρέχει ὅλα τὰ μέλη, καὶ προτρέπεται τοὺς ἀνθρώπους εἰς
runs-through all the members and urges the men to
ἀσελγείας, καὶ μυρία κακά. Οἱ οὖν γαργαλιζόμενοι καὶ
licentiousness and countless evils the(-ones) then tickled and
συνηδόμενοι, ἔνδον ἐν τῇ καρδίᾳ ἐπιτελοῦσι τὴν πορνείαν, καὶ
taking-pleasure within in the heart accomplish the fornication and
οὕτως νεμομένου τοῦ κακοῦ, καταπίπτουσι καὶ εἰς φανερὰν
thus spreading the evil they-fall-down also into open
πορνείαν. Τὸ αὐτὸ νόει καὶ περὶ τῆς φιλαργυρίας,
fornication the same understand also about the avarice
κενοδοξίας, τύφου, ζήλου, θυμοῦ. Ὥσπερ ὅταν τις κληθῇ
vainglory conceit jealousy anger as when someone is-invited
εἰς ἄριστον, καὶ παρατεθῇ αὐτῷ ἐδέσματα πολλά, λοιπὸν
to (a)-breakfast and are-set-before him dishes many henceforth
ἡ ἁμαρτία ὑποβάλλει πάντων ἅψασθαι· καὶ οὕτως ἡ
the sin suggests all to-touch and thus the
ψυχὴ συνηδομένη βαρύνεται. Ὄρη γὰρ δυσβάστακτά ἐστι
soul taking-pleasure is-weighed-down mountains for hard-to-bear are
τὰ πάθη, ὧν ἐν μέσῳ ποταμοὶ δρακόντων καὶ ἰοβόλων
the passions of-which in midst (are)-rivers of-serpents and venomous
θηρίων καὶ ἑρπετῶν· ὥσπερ ἐὰν ᾖ κῆτος, καὶ καταπίῃ
beasts and reptiles as if there-be (a)-sea-monster and it-swallow
τὸν ἄνθρωπον ἐν τῇ κοιλίᾳ· οὕτω καὶ ἡ ἁμαρτία καταπίνει
the man in the belly thus also the sin swallows
τὰς ψυχάς. Φλόγες πυρός εἰσι κατακαίουσαι, καὶ βέλη
the souls flames of-fire they-are burning-up and darts
πεπυρωμένα τοῦ πονηροῦ. Λέγει γὰρ ὁ Ἀπόστολος, Πρὸς τὸ
fiery of-the evil(-one) says for the Apostle for the

δυνηθῆναι ὑμᾶς τὰ βέλη τοῦ πονηροῦ τὰ πεπυρωμένα σβέσαι.
to-be-able you the darts of-the evil(-one) the fiery to-quench
Ἐνεμήθη γὰρ τὸ κακόν, καὶ τεθεμελίωται περὶ τὴν ψυχήν.
has-spread for the evil and has-been-founded about the soul
Οἱ δὲ φρόνιμοι, ὅταν ἐπαναστῇ τὰ πάθη, οὐχ 51
the(-ones) but prudent when rise-up the passions not
ὑπακούουσιν, ἀλλ᾽ ὀργίζονται ταῖς κακαῖς ἐπιθυμίαις, καὶ
obey but are-angry with-the evil lusts and
ἐχθροὶ ἑαυτῶν γίγνονται. Ὁ γὰρ Σατανᾶς πολὺ θέλει
enemies of-themselves become — for Satan much wishes
ἐπαναπαῆναι τῇ ψυχῇ, καὶ ἐφαπλωθῆναι, καὶ θλίβεται
to-rest on-the soul and to-be-spread-out and is-afflicted
καὶ στενοχωρεῖται μὴ ὑπακουούσης τῆς ψυχῆς. Εἰσὶ δέ
and straitened not obeying the soul there-are and
τινες κρατούμενοι ὑπὸ θείας δυνάμεως, ὅτι ἐὰν ἴδωσί τινα
some held by divine power that if they-see someone
μετὰ γυναικὸς νέον, οὗτοι εἰ καὶ διαλογίζονταί τινα,
with (a)-woman young these if even they-reason something
ὅμως οὐ μιαίνεται ὁ νοῦς αὐτῶν, οὔτε ἐπιτελεῖ ἔνδον
nevertheless not is-defiled the mind their nor accomplishes within
ἁμαρτίαν. Ἀλλ᾽ οὔπω ἐστὶ τῷ τοιούτῳ θαρσῆσαι.
sin but not-yet is-it-(possible) for-the such(-man) to-be-confident
Εἰσὶ δὲ ἄλλοι εἰς οὓς τελείως πέπαυται, καὶ κατεσβέσθη,
there-are and others in whom perfectly it-has-ceased and was-quenched
καὶ ἐξηράνθη· ἀλλὰ τὰ μέτρα τῶν μεγάλων εἰσίν. Ὥσπερ
and dried-up but the measures of-the great(-ones) these-are as
δὲ οἱ ἔμποροι γυμνοὶ κατέρχονται εἰς βυθὸν θαλάσσης,
and the merchants naked go-down to (the)-depth of-(the)-sea
εἰς θάνατον τοῦ ὕδατος, ἵνα ἐκεῖ εὕρωσι μαργαρίτας
to (the)-death of-the water that there they-may-find pearls
εἰς στέφανον ποιοῦντας βασιλικόν, καὶ πορφύραν, οὕτως
for (a)-crown making royal and purple thus

καὶ οἱ μονάζοντες, γυμνοὶ ἐξέρχονται τοῦ κόσμου, καὶ
also the(-ones) living-as-monks naked go-out of-the world and
κατέρχονται εἰς βυθὸν θαλάσσης τῆς κακίας, καὶ εἰς τὴν
go-down to (the)-depth of-(the)-sea of-the vice and to the
ἄβυσσον τοῦ σκότους, καὶ ἀπὸ τῶν βαθέων λαμβάνουσι
abyss of-the darkness and from the depths they-take
καὶ ἀναφέρουσι τιμίους λίθους προχωροῦντας εἰς στέφανον
and bring-up precious stones going for (the)-crown
τοῦ Χριστοῦ, εἰς τὴν Ἐκκλησίαν τὴν ἐπουράνιον, εἰς
— of-Christ for the Church the heavenly for
αἰῶνα καινόν, καὶ πόλιν φωτεινήν, καὶ δῆμον ἀγγελικόν.
(an)-age new and (a)-city luminous and (a)-people angelic
52 Ὥσπερ ἐν τῇ σαγήνῃ πολλὰ εἴδη ἰχθύων ἐμπίπτει, καὶ τὰ
as in the dragnet many kinds of-fish fall and the
ἀχρηστότερα πάλιν εὐθέως εἰς θάλασσαν ῥίπτουσιν· οὕτως
more-useless again immediately into (the)-sea they-throw thus
καὶ ἡ σαγήνη τῆς χάριτος ἐξαπλοῦται ἐπὶ πάντας, καὶ ζητεῖ
also the dragnet of-the grace is-spread-out over all and seeks
ἀνάπαυσιν. Ἀλλ' οἱ ἄνθρωποι οὐχ ὑπακούουσι· διὰ τοῦτο
rest but the men not obey because-of this
πάλιν εἰς αὐτὸν τὸν βόθυνον τοῦ σκότους καταῤῥίπτονται.
again into the-very the pit of-the darkness are-thrown-down
Ὥσπερ γὰρ ὁ χρυσὸς ἀπὸ πολλῆς ἄμμου πλυνόμενος
as for the gold from much sand being-washed
εὑρίσκεται, καὶ ταῦτα ἐλάχιστα ὡς κεγχρίδες· οὕτως καὶ
is-found and these very-little as millet-grains thus also
ἀπὸ πολλῶν ὀλίγοι εἰσὶ δόκιμοι. Καὶ γὰρ οἱ ἔχοντες τὸ
from many few are approved and for the(-ones) having the
ἔργον τῆς βασιλείας, φανεροί εἰσι, καὶ οἱ κοσμοῦντες
work of-the kingdom manifest are and the(-ones) adorning
τὸν λόγον αὐτῆς φαίνονται. Ὁμοίως δὲ καὶ οἱ ἠρτυμένοι
the word its appear likewise and also the(-ones) seasoned

τῷ ἅλατι τῷ ἐπουρανίῳ φαίνονται, καὶ οἱ ἐκ τῶν
with-the salt the heavenly appear and the(-ones) from the
θησαυρῶν τοῦ Πνεύματος λαλοῦντες. Φαίνεται τὰ σκεύη ἐν
treasures of-the Spirit speaking appear the vessels in
οἷς ὁ Θεὸς εὐδοκεῖ, καὶ δίδωσι τὴν ἑαυτοῦ χάριν· καὶ ἄλλοι
which — God is-well-pleased and gives the his-own grace and others
μετὰ πολλῆς ὑπομονῆς δέχονται τὴν ἁγιαστικὴν δύναμιν,
with much patience receive the sanctifying power
καθὼς ὁ Κύριος θέλει πολυτρόπως. Ὁ οὖν λαλῶν, εἰ
as the Lord wills in-many-ways the(-one) then speaking if
μὴ ᾖ ὁδηγούμενος ὑπὸ φωτὸς οὐρανίου καὶ σοφίας, οὐ
not he-be guided by light heavenly and wisdom not
δύναται πληροφορεῖν τὸν ἑκάστου νοῦν, ἐπειδὴ πολλαί εἰσιν
can to-fully-assure the of-each mind since many are
αἱ προαιρέσεις, αἱ μὲν ἐν πολέμῳ, ἄλλαι ἐν ἀναπαύσει.
the choices the(-ones) indeed in war others in rest
Ὥσπερ ὅταν ᾖ ἠρημωμένη πόλις, καὶ θελήσῃ 53
as when there-be (a)-desolated city and wish
τις ταύτην ἀνακτίσαι, εὐθέως τὰ καταῤῥεύσαντα
someone it to-rebuild immediately the(-parts) having-collapsed
καὶ πεσόντα τελείως καταβάλλει, καὶ οὕτως ἄρχεται
and fallen completely he-throws-down and thus begins
σκάπτειν, καὶ ἐν τῷ σκάμματι τοὺς θεμελίους τιθέναι,
to-dig and in the digging the foundations to-lay
καὶ προβάλλεσθαι τὴν οἰκοδομήν, οὐδέπω δέ ἐστιν οἰκία.
and to-put-forward the building not-yet but is-it (a)-house
Καὶ ὁ θέλων παράδεισον ποιῆσαι εἰς τόπους ἐρήμους
and the(-one) wishing (a)-garden to-make in places desolate
καὶ δυσώδεις, πρῶτον ἄρχεται καθαρίζειν, καὶ φραγμὸν
and foul-smelling first begins to-clear and (a)-fence
περιτιθέναι, καὶ ἑτοιμάζειν ὀχετούς, καὶ οὕτως φυτεύει,
to-put-around and to-prepare channels and thus he-plants

καὶ αὔξονται τὰ φυτά, ἵνα οὕτως μετὰ πολὺν χρόνον
and grow the plants that thus after much time
ἐνέγκῃ καρποὺς ὁ παράδεισος· οὕτως καὶ αἱ προαιρέσεις
may-bear fruits the garden thus also the choices
τῶν ἀνθρώπων, μετὰ τὴν παράβασιν κεχερσωμέναι εἰσί,
of-the men after the transgression have-become-barren are
καὶ ἠρημωμέναι, καὶ ἀκανθώδεις. Εἶπε γὰρ ὁ Θεὸς τῷ
and desolated and thorny said for — God to-the
ἀνθρώπῳ, Ἀκάνθας καὶ τριβόλους ἀνατελεῖ σοι ἡ γῆ.
man thorns and thistles shall-raise for-you the earth
Χρεία οὖν καμάτου καὶ κόπου πολλοῦ, ἵνα τις
(there-is)-need then of-labor and toil much that someone
ζητήσῃ καὶ ἀποθῆται τὸν θεμέλιον, ἕως ὅτε ἔλθῃ εἰς τὰς
may-seek and lay the foundation until — come into the
καρδίας τῶν ἀνθρώπων πῦρ, καὶ ἄρξηται περικαθαίρειν
hearts of-the men (the)-fire and begin to-purge
τὰς ἀκάνθας· καὶ οὕτως ἄρχονται ἁγιάζεσθαι, δοξάζοντες
the thorns and thus they-begin to-be-sanctified glorifying
Πατέρα, καὶ Υἱόν, καὶ ἅγιον Πνεῦμα, εἰς τοὺς αἰῶνας. Ἀμήν.
(the)-Father and Son and holy Spirit for the ages amen

XVI · EVIL IS NOT OF OUR NATURE

Evil is not a substance equal to God, though in us it is real, and grace and sin can dwell together. The Christian is a merchant who sends his wealth ahead.

1 Πᾶσαι αἱ νοεραὶ οὐσίαι, λέγω δὴ ἀγγέλων, καὶ
all the intellectual beings I-mean indeed of-angels and
ψυχῶν, καὶ δαιμόνων, ἀκέραιοι καὶ ἁπλούστατοι ὑπὸ τοῦ
of-souls and of-demons pure and most-simple by the

Δημιουργοῦ ἐκτίσθησαν· τὸ δέ τινας ἐξ αὐτῶν τραπῆναι εἰς
Creator were-created the but some of them to-be-turned to
τὸ κακόν, ἐκ τοῦ αὐτεξουσίου προσεγένετο αὐτοῖς. Ἰδίῳ
the evil from the self-determination happened to-them by-own
γὰρ θελήματι ἐξετράπησαν τοῦ προσήκοντος λογισμοῦ. Εἰ
for will they-turned-aside from-the fitting thought if
δέ φαμεν οὕτως ὑπὸ τοῦ Δημιουργοῦ κτισθῆναι, ἄδικον
and we-say (them)-thus by the Creator to-have-been-created (an)-unjust
κριτὴν λέγομεν τὸν Θεόν, πέμποντα εἰς πῦρ τὸν Σατανᾶν.
judge we-call — God sending into fire — Satan
Εἰσὶ γάρ τινες τῶν αἱρετικῶν, λέγοντες ὕλην ἄναρχον,
there-are for some of-the heretics saying matter without-beginning
καὶ ὕλην ῥίζαν, καὶ ῥίζαν δύναμιν, καὶ ἰσοδυναμίαν.
and matter (a)-root and (the)-root (a)-power and equality-of-power
Πρὸς τούτῳ οὖν ἔχεις εὐλόγως ἀντιθεῖναι, ὅτι ποία ἐστὶ
against this then you-have reasonably to-object that which is
λοιπὸν ἡ νικῶσα δύναμις; ἀνάγκη δὲ ὅτι ἡ τοῦ
henceforth the conquering power (it-is)-necessary and that the(-power) —
Θεοῦ. Λοιπὸν οὐκέτι ἐστὶν ἰσόχρονος, ἢ ἰσοδύναμος ὁ
of-God henceforth no-longer is of-equal-age or of-equal-power the(-one)
ἡττώμενος. Οἱ λέγοντες ἐνυπόστατον τὸ κακόν, οὐδὲν
being-defeated the(-ones) saying subsistent the evil nothing
ἴσασι. Θεῷ γὰρ οὐδέν ἐστι κακὸν ἐνυπόστατον, κατὰ τὸ
know to-God for nothing is evil subsistent according-to the
ἀπαθὲς αὐτοῦ καὶ θεϊκόν· ἡμῖν δέ ἐστιν ἐνεργοῦν ἐν πάσῃ
impassibility his and divine(-nature) to-us but it-is working in all
δυνάμει καὶ αἰσθήσει, πάσας ἐπιθυμίας ῥυπαρὰς ὑποβάλλον,
power and perception all lusts filthy suggesting
οὐ συνεκράθη δὲ οὕτως, ὃν τρόπον τινὲς λέγουσι τὴν
not it-was-mingled but so in-what way some say the
μίξιν τοῦ οἴνου καὶ τοῦ ὕδατος· ἀλλ' ὡς ἔστιν ἐν μιᾷ χώρᾳ
mixing of-the wine and the water but as is in one field

ὁ σῖτος καθ' ἑαυτόν, καὶ τὰ ζιζάνια καθ' ἑαυτά· ὡς ἔστιν ἐν
the wheat by itself and the tares by themselves as is in
οἴκῳ ὁ λῃστὴς κατ' ἰδίαν, καὶ ὁ οἰκοδεσπότης κατ' ἰδίαν.
(a)-house the robber by himself and the master-of-the-house by himself
2 Ἔστι πηγὴ ῥέουσα ὕδωρ καθαρόν, καὶ ὑπόκειται
there-is (a)-spring flowing water pure and lies-beneath
βόρβορος, ὅταν ταράξῃ τις τὸν βόρβορον, ὅλη ἡ πηγὴ
mire when stirs someone the mire whole the spring
θολοῦται. Οὕτω καὶ ἡ ψυχὴ ὅταν ταράσσηται καὶ κιρνᾶται
is-muddied thus also the soul when it-is-troubled and is-mingled
τῇ κακίᾳ· καὶ ἕν τι γίνεται ὁ Σατανᾶς μετὰ τῆς
with-the vice and one something becomes — Satan with the
ψυχῆς, πνεύματα ἀμφότερα, κατὰ τὴν πορνείαν, ἢ τὸν
soul spirits both in the fornication or the
φόνον· διὰ τοῦτο ὁ κολλώμενος τῇ πόρνῃ ἓν
murder because-of this the(-one) cleaving to-the harlot one
σῶμά ἐστι. Πλὴν ἐν ἄλλῃ ὥρᾳ καθ' ἑαυτήν ἐστιν ἡ ψυχὴ
body is but in another hour by itself is the soul
ἐνυπόστατος, μεταμελουμένη ἐφ' οἷς ἔπραξε, καὶ κλαίει, καὶ
subsistent repenting for what it-did and weeps and
εὔχεται, καὶ μνημονεύει Θεοῦ. Εἰ γὰρ πάντοτε ἦν ἡ ψυχὴ
prays and remembers God if for always were the soul
βεβυθισμένη εἰς τὸ κακόν, πῶς ἠδύνατο ταῦτα πράττειν,
sunk in the evil how could-it these(-things) do
τοῦ Σατανᾶ μήποτε θέλοντος εἰς μετάνοιαν ἔρχεσθαι τοὺς
— Satan never wishing to repentance to-come the
ἀνθρώπους, ἄσπλαγχνος γὰρ ὑπάρχει. Καὶ ἡ γυνὴ κατὰ
men merciless for he-is and the woman in
τὸ συντίθεσθαι τῷ ἀνδρί, ἓν μετ' αὐτοῦ, ἄλλῃ δὲ ὥρᾳ
the to-agree-with the husband (is)-one with him at-another and hour
κεχωρισμένοι εἰσίν· ὅτι πολλάκις ὁ εἷς αὐτῶν ἀποθνήσκει,
separated they-are because often the one of-them dies

καὶ ὁ ἕτερος ζῇ. Τοιοῦτόν τί ἐστι καὶ ἐπὶ
and the other lives such something is also in-the-case-of
κοινωνίᾳ τοῦ ἁγίου Πνεύματος, ἓν πνεῦμα γίνονται. Ὁ
communion of-the holy Spirit one spirit they-become the(-one)
κολλώμενος γὰρ τῷ Κυρίῳ ἓν πνεῦμά ἐστι. Τοῦτο δὲ
cleaving for to-the Lord one spirit is this and
γίνεται, ὅταν καταποθῇ ὁ ἄνθρωπος αὐτῇ τῇ χάριτι.
happens when is-swallowed-up the man by-the-very the grace
Εἰσὶ δέ τινες ἔχοντες γεῦσιν Θεοῦ, ἔτι ἐνεργούμενοι 3
there-are and some having (a)-taste of-God still worked-upon
ὑπὸ τοῦ ἀντικειμένου, καὶ ξενίζονται, ἄπειροι ὄντες,
by the adversary and are-surprised inexperienced being
ὅτι μετὰ τὴν ἐπίσκεψιν τοῦ Θεοῦ ἐνεργοῦσι λογισμοὶ
that after the visitation — of-God work thoughts
εἰς τὰ μυστήρια τοῦ Χριστιανισμοῦ· οἱ ἐν αὐτοῖς
in the mysteries of-the Christianity the(-ones) in them
δὲ γηράσαντες οὐ ξενίζονται. Καὶ ὥσπερ οἱ ἔμπειροι
but having-grown-old not are-surprised and as the experienced
γεωργοὶ ἐκ τῆς πολλῆς συνηθείας, ὅταν γένηται εὐφορία,
farmers from the much habit when comes plenty
οὐ τελείως ἀμέριμνοί εἰσιν, ἀλλ᾽ ἐκδέχονται καὶ λιμὸν
not perfectly carefree they-are but they-expect both famine
καὶ στενοχωρίαν· οὔτε δὲ πάλιν, ὅταν καταλάβῃ αὐτοὺς
and straitness nor and again when overtakes them
λιμός, ἢ στενοχωρία, ἐπιπολὺ ἀπελπίζουσι, γνωρίζοντες
famine or straitness for-long do-they-despair knowing
τὴν μεταβολήν· οὕτως καὶ εἰς τὸ πνευματικόν, ὅταν
the change thus also in the spiritual(-life) when
πειρασμοῖς ποικίλοις περιπέσῃ ἡ ψυχή, οὐ ξενίζεται, οὔτε
into-temptations various falls the soul not it-is-surprised nor
ἀπελπίζει, ἐπειδὴ οἶδεν, ὅτι κατὰ συγχώρησιν ἀφίεται
despairs since it-knows that by permission it-is-left

δοκιμασθῆναι, καὶ παιδευθῆναι ὑπὸ τῆς κακίας. Οὔτε
to-be-tested and to-be-disciplined by the vice nor
δὲ πάλιν, ὅτε ἐν πλούτῳ πολλῷ ἐστι καὶ ἀναπαύσει
and again when in wealth much it-is and rest
ἀμεριμνεῖ, ἀλλ' ἐκδέχεται τὴν μεταβολήν. Καὶ ὁ ἥλιος
is-it-carefree but it-expects the change and the sun
σῶμα καὶ δημιούργημα ὤν, καταλάμπων καὶ εἰς τόπους
body and creation being shining also on places
δυσώδεις, ἔνθα ἐστὶ βόρβορος καὶ ἀκαθαρσίαι, οὐδὲν
foul-smelling where is mire and uncleannesses in-nothing
βλάπτεται ἢ μολύνεται· πόσῳ μᾶλλον τὸ καθαρὸν καὶ
is-harmed or defiled how-much more the pure and
ἅγιον Πνεῦμα συνὸν τῇ ψυχῇ ἔτι ἐνεργουμένῃ ὑπὸ τοῦ
holy Spirit being-with the soul still worked-upon by the
πονηροῦ, οὐδὲν συμπεριλαμβάνει ἀπ' αὐτῶν; καὶ γὰρ Τὸ
evil(-one) nothing takes-in from them and for the
φῶς ἐν τῇ σκοτίᾳ φαίνει, καὶ ἡ σκοτία αὐτὸ οὐ κατέλαβε.
light in the darkness shines and the darkness it not comprehended
4 Καὶ ὅτε οὖν ἐν βάθει ἐστί, καὶ πλουτεῖ τῇ χάριτι ὁ
and when then in depth he-is and is-rich in-the grace the
ἄνθρωπος, ἔστι λάχανον ἔτι παρ' αὐτῷ τῆς κακίας· ἔχει τὸν
man there-is (a)-herb still with him of-the vice he-has the
ἀντιλήπτορα βοηθοῦντα αὐτῷ. Ὅταν οὖν τις ἐν θλίψεσιν ᾖ
helper helping him when then someone in afflictions be
καὶ παθῶν τρικυμίαις, οὐκ ὀφείλει ἀπελπίσαι· ἐπὶ πλεῖον γὰρ
and of-passions billows not he-ought to-despair to more for
οὕτω παχύνεται ἡ ἁμαρτία καὶ ἐπεισέρχεται. Ὅταν δὲ ἔχῃ
thus is-thickened the sin and comes-in when but has
τις πάντοτε τὴν ἐλπίδα τοῦ Θεοῦ, ὥσπερ λεπτύνεται καὶ
someone always the hope — of-God as-it-were is-thinned and
ἐξυδαροῦται τὸ κακόν. Τὸ οὖν εἶναί τινας παραλελυμένους,
is-watered-down the evil the then to-be some paralyzed

ἢ λελωβημένους, πυρέσσοντας καὶ ἀσθενοῦντας, τοῦτο ἐκ
or maimed feverish and sick this from
τῆς ἁμαρτίας προσεγένετο. Αὕτη γὰρ ῥίζα ἐστὶ πάντων
the sin came-about this for root is of-all
τῶν κακῶν, καὶ τὰ πάθη ἃ τῶν ἐπιθυμιῶν τῆς ψυχῆς,
the evils and the passions which of-the lusts of-the soul
καὶ τῶν κακῶν διαλογισμῶν ἐξ αὐτῆς εἰσιν. Ὥσπερ ἐὰν
and of-the evil reasonings from it are as if
ᾖ πηγὴ ῥέουσα, καὶ ἔχῃ τοὺς παρακειμένους τόπους
there-be (a)-spring flowing and it-have the adjacent places
διύγρους καὶ νοτερούς· θέρμης δὲ γενομένης, καὶ αὐτὴ καὶ οἱ
moist and damp heat but having-come both it and the
ἔγγιστα τόποι ξηραίνονται· οὕτως καὶ εἰς τοὺς δούλους τοῦ
nearest places dry-up thus also in the servants —
Θεοῦ, εἰς οὓς πλεονάζει ἡ χάρις, ξηραίνει τὴν τοῦ πονηροῦ
of-God in whom abounds the grace it-dries-up the of-the evil(-one)
ἐπιθυμίαν, ὁμοίως δὲ καὶ τὴν φυσικήν, ἐπειδὴ νῦν οἱ τοῦ
lust likewise and also the natural(-lust) since now the —
Θεοῦ ἄνθρωποι μείζονες γίγνονται τοῦ πρώτου Ἀδάμ.
of-God men greater become than-the first Adam
Ὁ Θεὸς ἀπερίγραπτός ἐστι καὶ ἀκατάληπτος, πανταχοῦ 5
— God uncircumscribable is and incomprehensible everywhere
ἐπιφαινόμενος, καὶ ἐν τοῖς ὄρεσι καὶ ἐν τῇ θαλάσσῃ, καὶ
appearing both in the mountains and in the sea and
ὑποκάτω τῆς ἀβύσσου· καὶ οὐχὶ κατὰ μετάβασιν, ὃν
beneath the abyss and not by change-of-place in-what
τρόπον οἱ ἄγγελοι κατερχόμενοι ἐξ οὐρανοῦ ἐπὶ τὴν γῆν.
way the angels coming-down from heaven to the earth
Ἔστι γὰρ ἐν οὐρανῷ, καὶ ἔστιν ὧδε. Ἀλλ' ἐρεῖς μοι πῶς
he-is for in heaven and he-is here but you-will-say to-me how
δύναται ὁ Θεὸς ἐν τῇ γεέννῃ εἶναι, ἢ πῶς δύναται ἐν τῷ
can — God in the Gehenna to-be or how can-he in the

σκότει εἶναι, ἢ ἐν τῷ Σατανᾷ, ἢ τόποις ὅπου ἐστὶ δυσωδία;
darkness to-be or in — Satan or in-places where there-is stench
Ἀποκρίνομαί σοι κἀγώ, ὅτι ἀπαθής ἐστι καὶ πάντα
I-answer you I-too that impassible he-is and all(-things)
περιέχει· ἀπερίγραπτος γάρ ἐστι, καὶ ὁ Σατανᾶς ὢν
encompasses uncircumscribable for he-is and — Satan being
κτίσμα αὐτοῦ δεσμεῖται. Τὸ δὲ ἀγαθὸν οὔτε ῥυποῦται, οὔτε
creature his is-bound the and good neither is-soiled nor
σκοτίζεται. Εἰ δὲ οὐ λέγεις αὐτὸν περιέχειν τὰ πάντα, καὶ
is-darkened if but not you-say him to-encompass the all(-things) and
τὴν γέενναν, καὶ τὸν Σατανᾶν, ποιεῖς αὐτὸν περίγραπτον
the Gehenna and — Satan you-make him circumscribed
εἰς ἐκεῖνον τὸν τόπον, ἐν ᾧ ἐστιν ὁ πονηρός, ἵνα
in that the place in which is the evil(-one) that
ζητῶμεν ἄλλον ἀνώτερον αὐτοῦ. Ἀνάγκη γὰρ τὸν Θεὸν
we-may-seek another higher than-him (it-is)-necessary for — God
πανταχοῦ ἀνώτερον αὐτὸν εἶναι· διὰ δὲ τὸ μυστήριον
everywhere higher him to-be because-of and the mystery
τῆς θεότητος καὶ τὴν λεπτότητα ἐν αὐτῷ περιεχόμενον τὸ
of-the divinity and the subtlety in him encompassed the
σκότος, οὐ καταλαμβάνει αὐτόν· οὔτε δύναται τὸ κακὸν
darkness not comprehends him nor can the evil
μετέχειν τῆς καθαρότητος, ἢ ἐν αὐτῷ ἐστι. Τῷ οὖν Θεῷ
to-partake of-the purity or in him is — then for-God
οὐδὲν κακὸν ἐνυπόστατον, ἐπεὶ οὐδὲν ἀδικεῖται.
nothing (is)-evil subsistent since in-nothing is-be-wronged

6 Ἡμῖν δέ ἐστι κακὸν διὰ τὸ οἰκεῖν ἐν τῇ καρδίᾳ, καὶ
to-us but is (the)-evil because-of the to-dwell in the heart and
ἐνεργεῖν, ὑποβάλλον λογισμοὺς πονηροὺς καὶ ῥυπαρούς, καὶ
to-work suggesting thoughts evil and filthy and
μὴ συγχωροῦν καθαρῶς προσεύχεσθαι, ἀλλ᾽ αἰχμαλωτίζον
not allowing purely to-pray but taking-captive

τὸν νοῦν εἰς τὸν αἰῶνα τοῦτον. Ἐνδέδυται οὖν τὰς ψυχάς,
the mind into the age this it-has-put-on then the souls
ἥψατο δὲ καὶ αὐτῶν τῶν ὀστέων μελῶν. Ὥσπερ οὖν
it-touched and even the-very the bones of-the-members as then
ἐστιν εἰς τὸν ἀέρα ὁ Σατανᾶς, καὶ ὁ Θεὸς παρὼν
is in the air — Satan and — God being-present
ἐκεῖ οὐδὲν ἀδικεῖται, οὕτως καὶ ἐν τῇ ψυχῇ ἐστιν ἡ
there in-nothing is-wronged thus also in the soul is the
ἁμαρτία, ὁμοίως δὲ καὶ χάρις Θεοῦ σύνεστι μηδὲν
sin likewise and also (the)-grace of-God is-with(-it) in-nothing
ἀδικουμένη. Ὥσπερ ἐὰν ᾖ δοῦλος ἐγγὺς τοῦ δεσπότου
wronged as if there-be (a)-slave near the master
αὐτοῦ, οὗτος πάντοτε ἔγγιστα αὐτοῦ ὢν ὑπὸ φόβον ἐστί,
his this(-one) always nearest him being under fear is
μηδὲν ἄνευ αὐτοῦ διαπραττόμενος· οὕτως καὶ ἡμεῖς τῷ
nothing without him doing thus also we to-the
Δεσπότῃ Χριστῷ τῷ καρδιογνώστῃ τοὺς λογισμοὺς ἡμῶν
Master Christ the heart-knower the thoughts our
ἀνατιθέναι καὶ φανεροῦν ὀφείλομεν, καὶ ἔχειν τὴν ἐλπίδα
to-dedicate and to-make-manifest ought and to-have the hope
καὶ τὴν πεποίθησιν ἐπ᾽ αὐτόν, ὅτι Αὐτός μού ἐστι δόξα,
and the confidence on him that be my is glory
καὶ αὐτός μού ἐστι Πατήρ, καὶ αὐτός μού ἐστι πλοῦτος.
and he my is Father and he my is wealth
Πάντοτε οὖν ἐν τῇ συνειδήσει ὀφείλεις ἔχειν τὴν μέριμναν
always then in the conscience you-ought to-have the care
καὶ τὸν φόβον. Ἐὰν δὲ καί τις μὴ ἔχῃ τὴν χάριν
and the fear if and also someone not have the grace
τοῦ Θεοῦ πεφυτευμένην καὶ πεπηγμένην ἐν ἑαυτῷ, ἔστω
— of-God planted and fixed in himself let-it-be
νυκτὸς καὶ ἡμέρας ὡς φυσικὸν εἶναι προσκεκολλημένον
by-night and by-day as natural to-be cleaving

τῇ ψυχῇ, τὸ καθ᾽ ὥραν ὁδηγοῦν αὐτὸν καὶ διϋπνίζον,
to-the soul the(-thing) every hour guiding him and awakening
καὶ ὑπορθοῦν εἰς τὰ ἀγαθά· ἵνα γοῦν τὴν μέριμναν
and upholding(-him) to the good(-things) that at-least the care
ἔχῃ, τὸν φόβον, τὸν πόνον, ὡς φυσικὸν καὶ ἄτρεπτον
he-have the fear the toil as natural and unchangeable
τὸν συντριμμὸν τῆς καρδίας πάντοτε πεπηγμένον.
the contrition of-the heart always fixed

7 Ὥσπερ δὲ μέλισσα κρυπτῶς ἐργαζομένη τὸ κηρίον ἐν τῷ
as and (a)-bee secretly working the honeycomb in the
κοσκίνῳ, οὕτως καὶ ἡ χάρις κρυπτῶς ἐργάζεται ἐν ταῖς
hive thus also the grace secretly works in the
καρδίαις τὴν ἑαυτῆς ἀγάπην, καὶ μεταβάλλει ἀπὸ πικρότητος
hearts the her-own love and changes(-them) from bitterness
εἰς γλυκύτητα, ἀπὸ τραχύτητος εἰς λειότητα. Ὥσπερ δὲ
to sweetness from roughness to smoothness as and
ἀργυροκόπος καὶ ἀναγλυφάριος ἀναγλύφων δίσκον κατὰ
(a)-silversmith and engraver engraving (a)-dish by
μέρος σκεπάζει ἅπερ γλύφει διάφορα ζώδια, ἐπὰν δὲ τελέσῃ,
part covers what he-engraves various figures when but he-finishes
τότε φανεροῖ αὐτὸν ἐξαστράπτοντα τῷ φωτί· οὕτως καὶ
then he-shows it flashing in-the light thus also
ὁ Κύριος ἀληθινὸς τεχνίτης ἀναγλύφει τὰς καρδίας ἡμῶν,
the Lord true craftsman engraves the hearts our
καὶ ἀνακαινίζει ἐν μυστηρίῳ, ἕως οὗ ἐκδημήσωσιν ἐκ
and renews(-them) in mystery until — they-depart from
τοῦ σώματος, καὶ τότε φαίνεται τῆς ψυχῆς τὸ κάλλος.
the body and then appears of-the soul the beauty
Οἱ γὰρ θέλοντες σκεύη κατασκευάσαι, καὶ ἐνυφάναι
the(-ones) for wishing vessels to-make and to-weave-in
ζώδια, πρῶτον κηροπλαστοῦσι, καὶ οὕτως ἐκχέουσι
figures first model-in-wax and so pour(-the-metal)

καθ᾽ ὁμοιότητα ἐκείνου, ὥστε τὸ ἔργον κατ᾽ ἐκεῖνο
after (the)-likeness of-that so-that the work according-to that
ἀποτελεσθῆναι τὸ σχῆμα· οὕτως καὶ ἡ ἁμαρτία πνεῦμα
be-completed the shape thus also the sin spirit
οὖσα εἰκόνα ἔχει, καὶ μεταβάλλεται εἰς μορφὰς πολλάς.
being (an)-image has and is-changed into forms many
Ὁμοίως δὲ καὶ ὁ ἔσω ἄνθρωπος ζώδιόν ἐστί τι, ἔχον
likewise and also the inner man (a)-figure is some(-thing) having
εἰκόνα καὶ μόρφωσιν. Ὁμοίωμα γάρ ἐστι τοῦ ἔξω ἀνθρώπου
image and form (a)-likeness for is of-the outer man
ὁ ἔσω. Μέγα οὖν ἐστι τὸ σκεῦος καὶ τίμιον, ἐπειδὴ ἀπὸ
the inner great then is the vessel and precious since from
πάντων τῶν κτισμάτων ἐκεῖ εὐδόκησεν ὁ Κύριος. Καὶ οἱ
all the creatures there was-pleased the Lord and the
μὲν ἀγαθοὶ λογισμοὶ τῆς ψυχῆς ἐοίκασι λίθοις τιμίοις καὶ
indeed good thoughts of-the soul are-like stones precious and
μαργαρίταις, οἱ δὲ ἀκάθαρτοι λογισμοὶ μεμεστωμένοι
pearls the(-ones) but unclean thoughts filled
εἰσὶν ὀστέων νεκρῶν καὶ πάσης ἀκαθαρσίας, καὶ δυσωδίας.
are of-bones dead and of-all uncleanness and stench
Οἱ οὖν Χριστιανοὶ ἄλλου αἰῶνός εἰσιν, υἱοὶ Ἀδὰμ 8
the(-ones) then Christians of-another age are sons of-Adam
τοῦ ἐπουρανίου, γέννημα καινόν, τέκνα Πνεύματος ἁγίου,
the heavenly (an)-offspring new children of-Spirit holy
ἀδελφοὶ Χριστοῦ φωτεινοί, ὅμοιοι τῷ πατρὶ αὐτῶν,
brothers of-Christ luminous like to-the father their
Ἀδὰμ τῷ πνευματικῷ καὶ φωτεινῷ, ἐκείνης τῆς πόλεως,
Adam the spiritual and luminous of-that the city
ἐκείνου τοῦ γένους, ἐκείνης τῆς δυνάμεως, οὐκ εἰσὶ τοῦ
of-that the race of-that the power not they-are of-the
κόσμου τούτου, ἀλλὰ ἄλλου κόσμου εἰσίν· αὐτὸς γὰρ
world this but of-another world they-are he for

λέγει, Οὐκ ἐστὲ ἐκ τοῦ κόσμου τούτου, καθὼς ἐγὼ οὐκ
says not you-are of the world this as I not
εἰμὶ ἐκ τοῦ κόσμου τούτου. Ἀλλ' ὥσπερ ἔμπορος ἀπὸ
am of the world this but as (a)-merchant from
πολλῶν μονῶν ἀπερχόμενος, καὶ πολυπλασιάζων αὐτοῦ
many stations going-off and multiplying his
τὴν ἐμπορίαν, ἀποστέλλει πρὸς τοὺς ἰδίους ἐπὶ τῷ
the trade sends to the own(-people) for the
κτισθῆναι αὐτῷ οἴκους, παραδείσους, ἐνδύματα ἀναγκαῖα·
to-be-built for-him houses gardens garments necessary
καὶ ὅταν ἀναλύσῃ εἰς τὰ ἴδια, τότε πλοῦτον πολὺν
and when he-returns to the own(-home) then wealth much
ἐπιφέρεται· μετὰ πολλῆς δὲ χαρᾶς προσδέχονται αὐτὸν οἱ
he-brings with much and joy receive him the
ἴδιοι αὐτοῦ καὶ προσγενεῖς· οὕτω κἀν τοῖς πνευματικοῖς,
own his and kinsmen thus also-in the spiritual(-things)
εἴ τινες ἐμπορεύονται τὸν ἐπουράνιον πλοῦτον, ἴσασιν οἱ
if some trade-in the heavenly wealth know-it the
συμπολῖται, τουτέστι τὰ πνεύματα τῶν ἁγίων καὶ τῶν
fellow-citizens that-is the spirits of-the saints and of-the
ἀγγέλων, καὶ θαυμάζουσι λέγοντες, Εἰς μέγαν πλοῦτον
angels and marvel saying into great wealth
εἰσῆλθον οἱ ἀδελφοὶ ἡμῶν οἱ ἐπὶ τῆς γῆς. Ἔχοντες
have-entered the brothers our the(-ones) on the earth having
οὖν οὗτοι μεθ' ἑαυτῶν τὸν Κύριον ἐν τῇ ἀναλύσει, ἐν
then these with themselves the Lord in the departure in
μεγάλῃ χαρᾷ ἔρχονται πρὸς τοὺς ἄνω, καὶ δέχονται
great joy they-come to the(-ones) above and receive
αὐτοὺς οἱ τοῦ Κυρίου, ἐκεῖ εὐτρεπίσαντες αὐτοῖς οἴκους
them the(-ones) of-the Lord there having-prepared for-them houses
καὶ παραδείσους, καὶ ἐνδύματα ὁλόλαμπρα καὶ πολυτελῆ.
and gardens and garments all-bright and costly

Νήψεως οὖν ἐν πᾶσι χρεία, ἵνα μὴ καὶ ἃ δοκοῦμεν 9
of-sobriety then in all(-things) (there-is)-need that not even what we-seem
ἔχειν ἀγαθά, πρὸς βλάβην ἡμῶν γένωνται. Καὶ γὰρ οἱ
to-have good(-things) to harm our become and for the
χρηστοὶ κατὰ φύσιν, ἐὰν μὴ ἀσφαλίσωνται, κατὰ μικρὸν
kind by nature unless — they-secure(-themselves) by little
δι' αὐτῆς τῆς χρηστότητος ὑποσύρονται, καὶ οἱ
through the-very the kindness are-drawn-away and the(-ones)
ἔχοντες σοφίαν, δι' αὐτῆς τῆς σοφίας κλέπτονται.
having wisdom through the-very the wisdom are-robbed
Δεῖ οὖν ἐν πᾶσι τοῖς μέρεσι, συγκεκραμένον εἶναι τὸν
(one)-must then in all the parts blended to-be the
ἄνθρωπον, τὸ χρηστὸν μετὰ τοῦ ἀποτόμου, τὸ σοφὸν μετὰ
man the kind with the severe the wise with
διακρίσεως, τὸν λόγον μετὰ τοῦ ἔργου, τὸ ὅλον πεποιθέναι
discernment the word with the deed the whole to-have-trusted
ἐπὶ Κύριον, καὶ μὴ ἐφ' ἑαυτόν. Ἡ γὰρ ἀρετὴ διὰ
in (the)-Lord and not in himself the for virtue through
πολλῶν ἀρτύεται, ὥσπερ ἔδεσμά τι τῶν ἀναγκαίων διὰ
many(-things) is-seasoned as dish some of-the necessary(-ones) by
κονδίτου ἢ ἑτέρου τινός, καὶ τοῦτο οὐ μόνον διὰ μέλιτος,
condiment or other something and this not only by honey
ἀλλὰ καὶ πεπέρεως, καὶ οὕτως εὑρίσκεται χρήσιμον.
but also by-pepper and thus is-found useful
Οἱ λέγοντες μὴ εἶναι τὴν ἁμαρτίαν ἐν τῷ ἀνθρώπῳ, 10
the(-ones) saying not to-be the sin in the man
οὕτως εἰσίν, ὡς ὑπὸ πλημμύρας ὑδάτων πολλῶν
so are as by (a)-flood of-waters many
καταπεποντισμένοι, καὶ τοῦτο μὴ ὁμολογοῦντες, ἀλλὰ
drowned and this not confessing but
λέγοντες, Ἦχον ὑδάτων ἠκούσαμεν· οὕτω καὶ αὐτοὶ
saying (a)-sound of-waters we-heard thus also they

καταπεποντισμένοι ὑπὸ τοῦ βυθοῦ τῶν κυμάτων τῆς
drowned by the depth of-the waves of-the
κακίας, οὐ λέγουσιν εἶναι ἐν τῷ νῷ καὶ τοῖς λογισμοῖς
vice not say to-be in the mind and the thoughts
αὐτῶν τὴν ἁμαρτίαν· ἄλλοι οὖν εἰσιν, οἱ λόγον μὲν
their the sin others then are the(-ones) word indeed
ἔχοντες καὶ λαλοῦντες, μὴ ἠρτυμένοι δὲ τῷ ἐπουρανίῳ
having and speaking not seasoned but with-the heavenly
ἅλατι, καὶ διηγοῦνται περὶ τραπέζης βασιλικῆς μηδὲν
salt and they-relate about (a)-table royal nothing
φαγόντες, ἢ κτησάμενοι. Ἄλλος δέ ἐστιν ὁ θεασάμενος
having-eaten or having-acquired another but is the(-one) having-beheld
αὐτὸν τὸν βασιλέα, καὶ ἀνοιγέντων αὐτῷ θησαυρῶν,
the-very the king and opened to-him treasures
εἰσελθών, καὶ κληρονομήσας καὶ φαγὼν καὶ πιὼν
having-entered and having-inherited and having-eaten and having-drunk
ἐκ τῶν ἐδεσμάτων ἐκείνων τῶν πολυτελῶν.
of the dishes those the costly

11 Ὥσπερ ἐὰν ᾖ μήτηρ ἔχουσα υἱὸν μονογενῆ,
as if there-be (a)-mother having (a)-son only-begotten
εὐειδέστατον, σοφόν, πᾶσι κεκοσμημένον ἀγαθοῖς, ἐφ' ᾧ
most-comely wise with-all adorned goods on whom
ἔχει πάσας τὰς ἐλπίδας; καὶ συμβῇ τοῦτον ταφῆναι ὑπ'
she-has all the hopes and it-happen him to-be-buried by
αὐτῆς, λοιπὸν προσγίνεται αὐτῇ πόνος ἄπαυστος, καὶ
her henceforth comes to-her pain unceasing and
πένθος ἀπαραμύθητον· οὕτως καὶ ὁ νοῦς ὡς ἀποθανούσης
mourning inconsolable so also the mind as having-died
ἀπὸ Θεοῦ τῆς ψυχῆς, ὀφείλει πένθος ἀναλαβεῖν καὶ δάκρυα,
from God the soul ought mourning to-take-up and tears
πόνον ἄπαυστον, συντετριμμένην ἔχειν καρδίαν, ὑπὸ φόβον
pain unceasing crushed to-have (a)-heart under fear

εἶναι καὶ μέριμναν, ἔχειν δὲ καὶ τὴν πεῖναν καὶ δίψαν τοῦ
to-be and care to-have and also the hunger and thirst of-the
ἀγαθοῦ πάντοτε· τὸν τοιοῦτον λοιπὸν διαδέχεται χάρις Θεοῦ
good always the such(-one) henceforth succeeds grace of-God
καὶ ἐλπίς, καὶ οὐκέτι ἐστὶν ἐν τῷ τοιούτῳ πένθος, ἀλλὰ
and hope and no-longer is in the such(-man) mourning but
χαίρει ὡς ὁ εὑρὼν θησαυρόν, καὶ πάλιν τρέμει μή
he-rejoices as the(-one) having-found (a)-treasure and again trembles lest
πως ἀπολέσῃ αὐτόν. Ἐπέρχονται γὰρ οἱ λῃσταί. Ὥσπερ
somehow he-lose it come-upon(-him) for the robbers as
ἐάν τις εἰς πολλὰς λῃστουργίας, καὶ ζημίας ἐμπεσών,
if someone into many robberies and losses having-fallen
μετὰ πολλοῦ καμάτου διαφύγῃ, καὶ μετὰ ταῦτα εὕρῃ
with much labor escape and after these(-things) find
περιουσίαν μεγάλην, καὶ ὑπόστασιν πολλήν, καὶ οὐκέτι
property great and substance much and no-longer
δέδοικε ζημίαν διὰ τὸν πλεονάσαντα πλοῦτον· οὕτως καὶ
fears loss because-of the abounding wealth thus also
οἱ πνευματικοί, πρῶτον διελθόντες ἐν πολλοῖς πειρασμοῖς
the spiritual(-men) first having-passed in many temptations
καὶ φοβεροῖς τόποις. Εἶτα χάριτος πληρωθέντες καὶ
and fearful places then with-grace having-been-filled and
μεμεστωμένοι τῶν ἀγαθῶν, οὐκέτι δεδοίκασι τοὺς θέλοντας
filled of-the goods no-longer fear the(-ones) wishing
αὐτοὺς συλῆσαι, ἐπειδὴ ὁ πλοῦτος οὐκ ἔστιν αὐτοῖς
them to-plunder since the wealth not is theirs
ὀλίγος· ἔχουσι δὲ καὶ φόβον, οὐ τῶν φοβουμένων
little they-have and also fear not (that)-of-the(-ones) fearing
τὰ πονηρὰ πνεύματα, ἀλλὰ φόβον καὶ μέριμναν, πῶς
the evil spirits but fear and care how
διοικήσουσι τὰ ἐμπιστευθέντα αὐτοῖς πνευματικὰ χαρίσματα.
they-will-manage the entrusted to-them spiritual gifts

12 Ἔχει δὲ ὁ τοιοῦτος ἐξουδενούμενον ἑαυτὸν παρὰ πάντας
holds and the such(-man) set-at-naught himself beyond all
ἁμαρτωλούς, καὶ ἔχει ἐν ἑαυτῷ τὸν τοιοῦτον λογισμὸν
sinners and has in himself the such thought
ἐμφυτευθέντα ὡς φυσικόν, καὶ ὅσον εἰσέρχεται εἰς
implanted as natural and as-much-as he-enters into
γνῶσιν Θεοῦ, τοσοῦτον ἔχει αὐτὸν ἰδιώτην, καὶ
knowledge of-God so-much he-holds himself (an)-ignorant(-man) and
ὅσον μανθάνει, εἰς μηδὲν εἰδώς ἐστι. Ταῦτα δὲ ἡ
as-much-as he-learns as nothing knowing he-is these(-things) and the
χάρις διακονοῦσα, ὡς φυσικὰ ἐν τῇ ψυχῇ ἀπεργάζεται.
grace ministering as natural(-things) in the soul works
Ὥσπερ ἐὰν ᾖ παιδίον ὑπὸ νεανίσκου βασταζόμενον
as if there-be (a)-child by (a)-young-man being-carried
καὶ ὁ βαστάζων, αὐτὸ περιφέρει ὅπου θέλει, οὕτω
and the(-one) carrying it carries-about where he-wishes thus
καὶ κατὰ βάθος ἐνεργουμένη χάρις βαστάζει τὸν νοῦν,
also in depth working grace carries the mind
καὶ ἀναφέρει εἰς τοὺς οὐρανούς, εἰς τὸν τέλειον κόσμον,
and bears-up(-it) into the heavens into the perfect world
εἰς τὴν αἰώνιον κατάπαυσιν. Καὶ ἐν αὐτῇ δὲ τῇ χάριτί
into the eternal rest and in the-very and the grace
εἰσι μέτρα καὶ ἀξιώματα. Ἄλλος ἐστὶν ὁ στρατηλάτης
there-are measures and ranks another is the general
ἔχων παῤῥησίαν πρὸς τὸν βασιλέα, καὶ ὁ ἄλλος ἐστὶν
having boldness toward the king and the other is
ὁ ἡγεμών. Ὥσπερ οἶκος πεπληρωμένος καπνοῦ ὑπερεκχεῖ
the governor as (a)-house filled with-smoke pours-out
τοῦτον, καὶ εἰς τὸν ἔξω ἀέρα· οὕτως κἀν τῇ ψυχῇ
this(-smoke) also into the outer air thus also-in the soul
μεμεστωμένη ἡ κακία ὑπερεκχεῖται ἔξωθεν καὶ ἐπιτελεῖ
(when)-filled the vice is-poured-out outwardly and accomplishes

καρπούς. Ὡς οἱ ἐγκεχειρισμένοι ἀρχὰς ἐπαρχότητος,
fruits as the(-ones) entrusted-with offices of-prefecture
ἢ θησαυρὸν βασιλικόν, πάντα τὸν χρόνον ἐν μερίμνῃ εἰσί,
or (a)-treasure royal all the time in care are
μήπως ἄρα προσκρούσωσι τῷ βασιλεῖ· οὕτω καὶ οἱ
lest-perhaps then they-offend the king thus also the(-ones)
ἐμπιστευθέντες ἔργον πνευματικὸν ἀεὶ ἐν μερίμνῃ εἰσί,
entrusted-with (a)-work spiritual always in care are
καὶ ἔχοντες ἀνάπαυσιν, ὥσπερ οὐκ εἰσὶν ἀναπεπαυμένοι.
even having rest as-if not they-are rested
Ἡ βασιλεία γὰρ τοῦ σκότους ἡ ἐπεισελθοῦσα τῇ
the kingdom for of-the darkness the(-one) having-come-into the
πόλει, τουτέστι τῇ ψυχῇ, καὶ οἱ διακατέχοντες βάρβαροι
city that-is the soul and the occupying barbarians
τὰς νομὰς αὐτῆς, ἐξωθοῦνται ἀπ᾽ αὐτῆς.
the pastures her are-thrust-out from her
Ἀποστέλλει γὰρ ὁ βασιλεὺς Χριστὸς εἰς ἐκδίκησιν τῆς 13
sends for the king Christ for vengeance of-the
πόλεως, καὶ δεσμοῖ τοὺς τυράννους, καὶ στρατηγίαν
city and binds the tyrants and (a)-command
ἐπουράνιον, καὶ παράταξιν πνευμάτων ἁγίων ἐκεῖ κατοικίζει,
heavenly and battle-line of-spirits holy there he-settles
ὥσπερ πατρίδα ἰδίαν· καὶ λοιπὸν φαίνει ὁ ἥλιος ἐν
as (a)-fatherland own and henceforth shines the sun in
τῇ καρδίᾳ, καὶ αἱ ἀκτῖνες αὐτοῦ διατρέχουσιν εἰς ὅλα
the heart and the rays his run-through into all
τὰ μέλη. Καὶ ἔστιν ἐκεῖ λοιπὸν βαθεῖα εἰρήνη ἡ
the members and there-is there henceforth deep peace the(-one)
βασιλεύουσα. Ὁ δὲ ἀγὼν τοῦ ἀνθρώπου καὶ ἡ ἄθλησις,
reigning the but contest of-the man and the struggle
καὶ δοκιμασία, καὶ ἡ πρὸς Θεὸν εὔνοια τότε φαίνεται, ὅτε
and testing and the toward God goodwill then appears when

τῆς χάριτος ὑποστελλομένης ἀνδρίζεται καὶ βοήσει πρὸς
the grace withdrawing he-acts-manfully and will-cry to
τὸν Θεόν· ἀλλὰ σὺ ἀκούων, ὅτι εἰσὶ ποταμοὶ δρακόντων,
— God but you hearing that there-are rivers of-serpents
καὶ στόματα λεόντων, καὶ δυνάμεις αἱ ὑπὸ τὸν
and mouths of-lions and powers the(-ones) under the
οὐρανὸν σκοτειναί, καὶ πῦρ φλέγον καὶ καχλάζον ἐν τοῖς
heaven dark and fire blazing and bubbling in the
μέλεσιν, ὡς οὐδὲν ἡ γῆ, μὴ εἰδὼς ὅτι ἐὰν μὴ δέξῃ
members as nothing the earth(-is) not knowing that unless — you-receive
τὸν ἀῤῥαβῶνα τοῦ Πνεύματος τοῦ ἁγίου ἐν τῷ ἐξέρχεσθαι
the earnest of-the Spirit the holy in the going-out
τοῦ σώματος, κατέχουσί σου τὴν ψυχήν, μὴ ἐῶντές σε
of-the body they-hold your the soul not allowing you
ἀνελθεῖν εἰς τοὺς οὐρανούς. Ὁμοίως δὲ καὶ περὶ τοῦ
to-go-up into the heavens likewise and also about the
ἀξιώματος τῆς ψυχῆς ἀκούων, πῶς ἐστι τιμία ἡ νοερὰ
dignity of-the soul hearing how is precious the intellectual
οὐσία, οὐ συνιεῖς, ὅτι οὐκ εἶπε περὶ ἀγγέλων, ἀλλὰ
being not you-understand that not he-spoke about angels but
περὶ τῆς ἀνθρωπίνης φύσεως, τό, Ποιήσωμεν κατ'
about the human nature the(-words) let-us-make after
εἰκόνα ἡμετέραν καὶ ὁμοίωσιν καί, ὅτι ὁ οὐρανὸς καὶ ἡ
image our and likeness and that the heaven and the
γῆ παρέρχεται· σὺ δὲ εἰς υἱοθεσίαν, εἰς ἀδελφότητα,
earth pass-away you but (are-called)-to adoption to brotherhood
εἰς νύμφην βασιλέως. Ἐν τοῖς φαινομένοις γὰρ πάντα
to (be)-bride of-(the)-king in the visible(-things) for all
τὰ τοῦ νυμφίου τῆς νύμφης εἰσί, καὶ πάντα τὰ
the(-things) of-the bridegroom of-the bride are and all the(-things)
τοῦ Κυρίου ὅσα εἰσὶν ἐμπιστεύει σοι. Ἦλθε γὰρ εἰς
of-the Lord as-many-as are he-entrusts to-you he-came for for

πρεσβείαν σὴν δι᾽ ἑαυτοῦ, ἵνα σε ἀνακαλέσηται· καὶ σὺ
embassy yours through himself that you he-might-call-back and you
οὐδὲν νοεῖς, οὐδὲ συνῆκας τὴν εὐγένειάν σου; Δικαίως
nothing understand nor did-you-comprehend the nobility your justly
οὖν ὁ πνευματοφόρος πενθεῖ σου τὴν πτῶσιν, λέγων,
then the spirit-bearer mourns your the fall saying
Ἄνθρωπος ἐν τιμῇ ὢν οὐ συνῆκε· παρασυνεβλήθη τοῖς
man in honor being not understood was-compared to-the
κτήνεσι τοῖς ἀνοήτοις καὶ ὡμοιώθη αὐτοῖς. Δόξα Πατρί,
beasts the senseless and was-made-like to-them glory to-(the)-Father
καὶ Υἱῷ, καὶ ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας. Ἀμήν.
and Son and holy Spirit for the ages amen

XVII · THE ANOINTED

Perfect Christians are anointed with heavenly oil as kings and prophets of mysteries, and are no more surprised to reign with Christ than a king's friend who is crowned. The pure mind sees the light of Christ always, yet grace and sin can work in one heart, so no one should claim freedom: a brother who saw the heavenly Jerusalem grew proud and fell. Purity of heart comes only through the crucified Christ.

Οἱ τέλειοι Χριστιανοὶ οἱ καταξιωθέντες ἐλθεῖν εἰς μέτρα 1
the perfect Christians the(-ones) deemed-worthy to-come to measures
τελειότητος, καὶ γενέσθαι ἐγγύτατοι βασιλέως, οὗτοι τῷ
of-perfection and to-become nearest to-(the)-king these to-the
σταυρῷ τοῦ Χριστοῦ πάντοτε ἀφιερωμένοι εἰσίν. Ὥσπερ
cross — of-Christ always dedicated are as
γὰρ ἐπὶ τῶν προφητῶν τὸ χρίσμα ἦν ὅλον τιμιώτερον,
for in-the-case-of the prophets the anointing was whole more-precious
ἐπειδὴ εἰς βασιλεῖς καὶ προφήτας ἐχρίοντο, οὕτω νῦν
since to kings and prophets they-were-anointed thus now

οἱ πνευματικοὶ τὸ ἐπουράνιον χρίσμα χριόμενοι, γίνονται
the spiritual(-men) the heavenly anointing being-anointed become
Χριστιανοὶ κατὰ χάριν, ὥστε εἶναι αὐτοὺς βασιλεῖς καὶ
Christians by grace so-that to-be them kings and
προφήτας ἐπουρανίων μυστηρίων. Οὗτοί εἰσι καὶ υἱοί, καὶ
prophets of-heavenly mysteries these are both sons and
κύριοι, καὶ θεοί, δεδεμένοι, ἠχμαλωτισμένοι, βεβυθισμένοι,
lords and gods bound taken-captive sunk
ἐσταυρωμένοι, ἀφιερωμένοι· εἰ γὰρ τὸ χρίσμα τοῦ ἐλαίου,
crucified dedicated if for the anointing of-the oil
ὅπερ ἦν φυτοῦ φαινομένου, καὶ ξύλου ὁρατοῦ, τοσαύτην
which was of-(a)-plant visible and of-(a)-tree seen so-great
εἶχε δύναμιν, ὥστε τοὺς χριομένους ἀναντιῤῥήτως ἀξίωμα
had power so-that the(-ones) anointed indisputably dignity
λαμβάνειν (ἦν γὰρ κεκυρωμένον, ὥστε καθίστασθαι αὐτοὺς
to-receive it-was for ratified so-that to-be-appointed them
βασιλεῖς)· ὃ καὶ Δαβὶδ χρισθεὶς εὐθέως διωγμοῖς
kings which also David having-been-anointed immediately into-persecutions
περιέπεσε καὶ ἐθλίβετο, καὶ μετὰ ἑπτὰ ἔτη ἐγένετο
fell and was-afflicted and after seven years became
βασιλεύς· πόσῳ μᾶλλον ὅσοι χρίονται κατὰ τὸν νοῦν
king how-much more as-many-as are-anointed in the mind
καὶ τὸν ἔσω ἄνθρωπον, τὸ ἁγιαστικὸν καὶ χαροποιὸν
and the inner man (with)-the sanctifying and gladdening
ἔλαιον τῆς ἀγαλλιάσεως, τὸ οὐράνιον καὶ πνευματικόν,
oil of-the exultation the heavenly and spiritual
δέχονται τὸ σίγνον τῆς βασιλείας ἐκείνης τῆς ἀφθάρτου
receive the sign of-the kingdom that the incorruptible
καὶ ἀϊδίου δυνάμεως, τὸν ἀῤῥαβῶνα τοῦ Πνεύματος, τὸ
and everlasting power the earnest of-the Spirit the

Πνεῦμα τὸ ἅγιον καὶ παράκλητον; Ἄκουε δὲ παράκλητον,
Spirit the holy and paraclete understand and paraclete(-as)
καὶ τὸ παρακαλεῖν καὶ χαροποιεῖν τοὺς ἐν θλίψεσιν ὄντας.
also the to-comfort and to-gladden the(-ones) in afflictions being
Οὗτοι ἐκ τοῦ ξύλου τῆς ζωῆς Ἰησοῦ Χριστοῦ, ἐκ τοῦ φυτοῦ 2
these from the tree of-the life Jesus Christ from the plant
τοῦ ἐπουρανίου χριόμενοι, καταξιοῦνται ἐλθεῖν εἰς μέτρα
the heavenly being-anointed are-deemed-worthy to-come to measures
τῆς τελειότητος, τῆς βασιλείας λέγω καὶ τῆς υἱοθεσίας,
of-the perfection of-the kingdom I-mean and of-the adoption
ὄντες συμμύσται ἐπουρανίου βασιλέως ἔχοντες παῤῥησίαν
being fellow-initiates of-(the)-heavenly king having boldness
πρὸς τὸν παντοκράτορα, εἰσερχόμενοι εἰς τὸ παλάτιον
toward the almighty entering into the palace
αὐτοῦ, ἔνθα οἱ ἄγγελοι καὶ τὰ πνεύματα τῶν ἁγίων, καὶ
his where the angels and the spirits of-the saints(-are) even
ἔτι ὄντες ἐν τῷ κόσμῳ τούτῳ· μήπω γὰρ τὴν τελείαν
still being in the world this not-yet for the perfect
κληρονομίαν λαβόντες τὴν εὐτρεπισμένην αὐτοῖς ἐν
inheritance having-received the(-inheritance) prepared for-them in
ἐκείνῳ τῷ αἰῶνι, ἀσφαλεῖς εἰσιν ἀπὸ τοῦ ἀῤῥαβῶνος, οὗ
that the age secure they-are from the earnest which
ἐδέξαντο νῦν, ὡς ἤδη ἐστεφανωμένοι, καὶ βασιλεύοντες.
they-received now as already crowned and reigning
Καὶ οὐ ξενίζονται μέλλοντες συμβασιλεύειν Χριστῷ, ἐπὶ
and not they-are-surprised being-about to-reign-with Christ at
τῷ πλεονασμῷ, καὶ τῇ παῤῥησίᾳ τοῦ Πνεύματος. Διὰ τί;
the abundance and the boldness of-the Spirit for what
ἐπειδὴ ὄντες ἔτι ἐν τῇ σαρκὶ εἶχον τὸν νόστον ἐκεῖνον
since being still in the flesh they-had the taste that
τῆς γλυκύτητος, καὶ τὴν ἐνέργειαν ἐκείνην τῆς δυνάμεως.
of-the sweetness and the working that of-the power

3 Ὃν γὰρ τρόπον ὅταν ᾖ τις φίλος βασιλέως,
in-what for way when there-be someone (a)-friend of-(the)-king
σχολάζων τῷ παλατίῳ, γνωρίζων τὰ μυστήρια, καὶ ὁρῶν
spending-time in-the palace knowing the mysteries and seeing
αὐτοῦ τὴν πορφύραν· συμβῇ δὲ τοῦτον γενέσθαι βασιλέα,
his the purple it-happen and him to-become king
καὶ στεφανωθῆναι, οὐ ξενίζεται, οὔτε πτοεῖται, ἐπειδὴ ἐν
and to-be-crowned not he-is-surprised nor is-frightened since in
πολλῷ χρόνῳ ἐνεγυμνάσθη εἰς τὰ μυστήρια τοῦ παλατίου.
much time he-was-trained in the mysteries of-the palace
Οὐ γὰρ ἐνδέχεταί τινα τῶν ἀγελημαίων καὶ ἰδιωτῶν
not for it-is-possible (for)-any of-the common and ignorant
καὶ ξένων τῶν μυστηρίων εἰσελθεῖν, καὶ βασιλεῦσαι, εἰ
and strangers to-the mysteries to-enter and to-reign except
μὴ τοὺς ἐμπείρους καὶ πεπαιδευμένους· οὕτως καὶ οἱ
— the experienced and educated thus also the
Χριστιανοὶ ἐν ἐκείνῳ τῷ αἰῶνι μέλλοντες βασιλεύειν, οὐ
Christians in that the age being-about to-reign not
ξενίζονται, ἤδη προεγνωκότες τὰ μυστήρια τῆς χάριτος.
are-surprised already having-known-beforehand the mysteries of-the grace
Ἐπειδὴ γὰρ ὁ ἄνθρωπος παρέβη τὴν ἐντολήν, ὁ διάβολος
since for the man transgressed the commandment the devil
ὅλην τὴν ψυχὴν ἐκάλυψε καλύμματι σκοτεινῷ. Λοιπὸν οὖν
whole the soul covered with-(a)-veil dark henceforth then
ἔρχεται ἡ χάρις, καὶ ἀπεκδύεται ὅλον τὸ σκέπασμα, ὥστε
comes the grace and strips-off whole the covering so-that
λοιπὸν τὴν ψυχὴν καθαρὰν γενομένην καὶ ἀπολαβοῦσαν
henceforth the soul pure having-become and having-recovered
τὴν ἰδίαν φύσιν τὸ κτίσμα τὸ ἄμωμον καὶ καθαρόν,
the own nature the creature the blameless and pure
πάντοτε λοιπὸν καθαρῶς ἐν τοῖς καθαροῖς ὀφθαλμοῖς τὴν
always henceforth purely with the pure eyes the

δόξαν τοῦ φωτὸς τοῦ ἀληθινοῦ καθορᾷν, καὶ τὸν ἀληθινὸν
glory of-the light the true to-behold and the true
Ἥλιον τῆς δικαιοσύνης ἐξαστράπτοντα αὐτῇ τῇ καρδίᾳ.
Sun of-the righteousness flashing in-the-very the heart
Ὥσπερ γὰρ ἐν τῇ συντελείᾳ περιαιρουμένου τοῦ 4
as for in the consummation being-taken-away the
στερεώματος, λοιπὸν οἱ δίκαιοι ἐν τῇ βασιλείᾳ καὶ τῷ
firmament henceforth the righteous in the kingdom and the
φωτὶ καὶ τῇ δόξῃ διάγουσι, μηδὲν ἕτερον ὁρῶντες, ἢ
light and the glory live nothing other seeing but
καθὼς ὁ Χριστὸς ἐν δόξῃ ἐστὶ πάντοτε ἐν δεξιᾷ τοῦ
as — Christ in glory is always at (the)-right-hand of-the
Πατρός· οὕτως καὶ οὗτοι ἀπὸ τοῦ νῦν εἰς ἐκεῖνον τὸν αἰῶνα
Father thus also these from the now into that the age
ἀπαχθέντες, καὶ αἰχμαλωτισθέντες, πάντα τὰ ἐκεῖ κάλλη,
having-been-led-away and having-been-taken-captive all the there beauties
καὶ τὰς θαυματουργίας ὁρῶσιν. Ἡμεῖς γὰρ ἐπὶ γῆς ὄντες,
and the wonders see we for on earth being
ἐν οὐρανοῖς ἔχομεν τὸ πολίτευμα, εἰς ἐκεῖνον τὸν κόσμον
in heavens have the citizenship in that the world
ἔχοντες τὴν διαγωγὴν καὶ τὴν πολιτείαν, κατὰ τὸν νοῦν
having the living and the conduct according-to the mind
καὶ τὸν ἔσω ἄνθρωπον. Ὥσπερ γὰρ ὁ φαινόμενος ὀφθαλμὸς
and the inner man as for the visible eye
καθαρὸς ὤν, καθαρῶς ὁρᾷ πάντοτε τὸν ἥλιον· οὕτως καὶ ὁ
pure being purely sees always the sun thus also the
νοῦς τελείως καθαρισθείς, πάντοτε ὁρᾷ τὴν δόξαν τοῦ φωτὸς
mind perfectly cleansed always sees the glory of-the light
τοῦ Χριστοῦ, καὶ σύνεστι τῷ Κυρίῳ νυκτὸς καὶ ἡμέρας,
— of-Christ and is-with the Lord by-night and by-day
ὃν τρόπον τὸ σῶμα τοῦ Κυρίου συναφθὲν τῇ θεότητι,
in-what way the body of-the Lord joined to-the divinity

πάντοτε σύνεστι τῷ ἁγίῳ Πνεύματι. Ἀλλὰ ταῦτα τὰ μέτρα
always is-with the holy Spirit but these the measures
οὐκ εὐθέως καταλαμβάνουσιν οἱ ἄνθρωποι, εἰ μὴ διὰ
not immediately grasp the men except — through
καμάτου, καὶ θλίψεως, καὶ ἀγῶνος πολλοῦ. Εἰσὶ γάρ τινες,
labor and affliction and contest much there-are for some
ὅτι σύνεστιν αὐτοῖς ἡ χάρις ἐνεργοῦσα καὶ ἀναπαύουσα,
that is-with them the grace working and refreshing
σύνεστι δὲ καὶ ἡ κακία ἔνδον, καὶ τὰ δύο πολιτεύματα
is-with(-them) and also the vice within and the two citizenships
εἰς μίαν ἐνεργεῖ καρδίαν τοῦ φωτός, καὶ τοῦ σκότους.
in one work heart of-the light and of-the darkness
5 Ἀλλὰ πάντως ἐρεῖς μοι, τίς κοινωνία φωτὶ πρὸς
but surely you-will-say to-me what communion (has)-light with
σκότος; Ποῦ γὰρ τὸ θεῖον φῶς ἐπισκοτίζεται καὶ
darkness where for (is)-the divine light darkened and
θολοῦται, καὶ τὸ ἀμίαντον καὶ καθαρὸν ποῦ μιαίνεται;
muddied and the undefiled and pure where is-it-defiled
Γέγραπται γάρ, Καὶ τὸ φῶς ἐν τῇ σκοτίᾳ φαίνει, καὶ ἡ
it-is-written for and the light in the darkness shines and the
σκοτία αὐτὸ οὐ κατέλαβε. Μονοτρόπως οὖν οὐ χρὴ τὰ
darkness it not comprehended in-one-way then not (it)-is-needful the
πράγματα νοεῖσθαι, οὔτε μονομερῶς. Εἰς τοσοῦτον γάρ
matters to-be-understood nor in-one-part to so-great for
τινες ἀναπαύονται ἐν τῇ τοῦ Θεοῦ χάριτι, ὅτι ἀνδρειότεροι
some rest in the — of-God grace that more-manly
γίνονται τῆς συνούσης αὐτοῖς κακίας, καὶ ἔχοντες εὐχήν,
they-become than-the present with-them vice and having prayer
καὶ ἀνάπαυσιν πολλὴν πρὸς τὸν Θεόν, ἄλλῃ ὥρᾳ
and rest much toward — God at-another hour
ἐνεργοῦνται ὑπὸ λογισμῶν πονηρῶν, καὶ κλέπτονται
they-are-worked-upon by thoughts evil and are-robbed

ὑπὸ τῆς ἁμαρτίας, ἔτι ὄντες ἐν τῇ χάριτι τοῦ Θεοῦ.
by the sin still being in the grace — of-God
Οἱ δὲ ἐλαφροὶ καὶ ἰδιῶται, μερικῶς ἐνεργούσης ἐν
the(-ones) but light and ignorant (when)-partially working in
αὐτοῖς τῆς χάριτος, νομίζουσι μηκέτι εἶναι τὴν ἁμαρτίαν·
them the grace suppose no-longer to-be the sin
οἱ δὲ ἔχοντες διάκρισιν, καὶ ὄντες φρόνιμοι, οὐ
the(-ones) but having discernment and being prudent not
τολμῶσιν ἀρνήσασθαι, ὅτι ἔχοντες τὴν χάριν τοῦ Θεοῦ,
dare to-deny that having the grace — of-God
οὐκ ἐνεργούμεθα ὑπὸ αἰσχρῶν καὶ ῥυπαρῶν λογισμῶν.
not we-are-worked-upon by shameful and filthy thoughts
Πολλάκις γὰρ εὕρομεν ἐν τοῖς ἀδελφοῖς, ὅτι τοσαύτην 6
often for we-found in the brothers that such
εὗρον χαρὰν καὶ χάριν, ὥστε ἐν πέντε καὶ ἓξ ἔτεσι λέγειν
they-found joy and grace so-that in five and six years to-say
αὐτούς, ὅτι ἐξηράνθη ἡ ἐπιθυμία, καὶ μετὰ ταῦτα ὡς
they that has-dried-up the lust and after these(-things) as
ἐνόμισαν ἠλευθερῶσθαι ἀπ᾽ αὐτῆς, ἐγκρυβεῖσα ἡ κακία
they-supposed to-have-been-freed from it having-been-hidden the vice
ἐπεκινήθη αὐτοῖς, καὶ κατεκαύθησαν τῇ ἐπιθυμίᾳ, ὥστε
was-stirred-up in-them and they-were-burned-up by-the lust so-that
ξενίζεσθαι αὐτοὺς καὶ λέγειν, ὅτι μετὰ τοσοῦτον χρόνον
to-be-surprised they and to-say that after so-much time
πόθεν ἡμῖν ἐπανέστη τοσαύτη κακία; οὐδεὶς οὖν τῶν
whence against-us rose-up such vice no-one then of-the
ἐχεφρόνων τολμᾷ εἰπεῖν ὅτι συνούσης μοι τῆς χάριτος τὸ
sensible(-men) dares to-say that being-with me the grace the
ὅλον ἠλευθέρωμαι τῆς ἁμαρτίας, ἀλλὰ τὰ δύο πρόσωπα
whole I-have-been-freed from-the sin but the two persons
ἐν τῷ νῷ ἐνεργεῖται. Οἱ γὰρ ἄπειροι τῶν πραγμάτων,
in the mind are-at-work the(-ones) for inexperienced in-the matters

μικρόν τι ἐνεργησάσης εἰς αὐτοὺς τῆς χάριτος,
(when)-a-little something having-worked in them the grace
νομίζουσιν, ὅτι ἤδη ἐνίκησαν, καὶ εἰσὶ Χριστιανοὶ
suppose that already they-have-conquered and are Christians
τέλειοι. Ἐγὼ δὲ οὕτως φημὶ τὰ πράγματα εἶναι, ὥσπερ
perfect I but so say the matters to-be as
ὅταν ᾖ ἐν οὐρανῷ ἥλιος ἐν καθαρῷ ἀέρι καταλάμπων,
when there-be in heaven (the)-sun in pure air shining
καὶ ἔλθωσι περὶ αὐτὸν νεφέλαι, καὶ καλύπτωσιν αὐτόν, καὶ
and come around it clouds and cover it and
παχύνωσιν τὸν ἀέρα, οὐδὲν ἠδίκηται αὐτὸς ἐνδότερος ὢν
thicken the air in-nothing is-it-wronged it inner being
ἐκ τοῦ φωτὸς αὐτοῦ, καὶ τῆς ἰδίας ὑποστάσεως· οὕτως εἰσὶν
from the light its and the own substance thus are
οἱ μὴ τελείως καθαρισθέντες. Ὄντες δὲ ἐν τῇ τοῦ Θεοῦ
the(-ones) not perfectly cleansed being but in the — of-God
χάριτι, καὶ κατεχόμενοι ἐν βάθει ὑπὸ τῆς ἁμαρτίας, ἔχουσι
grace and held in depth by the sin they-have
τὰ φυσικὰ κινήματα καὶ τοὺς λογισμοὺς αὐτοὺς ἐῤῥωμένους
the natural movements and the thoughts themselves strong
πρὸς τὸν Θεόν, καὶ μὴ ὄντες τοῦ ἀγαθοῦ ὁλοτελῶς.
toward — God and not being of-the good wholly
7 Οὕτως πάλιν οἱ κατεχόμενοι ἐν βάθει ὑπὸ τοῦ ἀγαθοῦ
thus again the(-ones) held in depth by the good
μέρους, τῆς χάριτος λέγω, ἔτι εἰσὶ δοῦλοι καὶ ὑποχείριοι
part of-the grace I-mean still are slaves and subject
τοῖς πονηροῖς λογισμοῖς, καὶ τῷ μέρει τῆς κακίας. Πολλῆς
to-the evil thoughts and to-the part of-the vice of-much
οὖν χρεία διακρίσεως, ἵνα διὰ πείρας τις γνῷ
then (there-is)-need of-discernment that through experience someone may-know
ταῦτα τοῦτον ἔχειν τὸν τρόπον. Λέγω δέ σοι, ὅτι
these(-things) this to-have the way I-say and to-you that

καὶ οἱ ἀπόστολοι ἔχοντες τὸν Παράκλητον, ὁλοτελῶς οὐκ
even the apostles having the Paraclete wholly not
ἦσαν ἀμέριμνοι. Συνῆν γὰρ τῇ χαρᾷ καὶ τῇ ἀγαλλιάσει
were carefree there-was-with for the joy and the exultation
φόβος καὶ τρόμος ἐξ αὐτῆς τῆς χάριτος, οὐ τοῦ μέρους
fear and trembling from the-very the grace not from-the part
τῆς κακίας, ἀλλὰ αὐτὴ ἡ χάρις ἠσφαλίζετο αὐτούς, ἵνα
of-the vice but the-very the grace secured them that
μὴ κἂν εἰς μικρόν τι ἐκτραπῶσιν. Ὥσπερ γὰρ εἴ
not even in little something they-should-turn-aside as for if
τις βιζάκιον λίθου ῥίψας εἰς τεῖχος, οὐδὲν ἔβλαψεν
someone (a)-pebble of-stone having-thrown at (a)-wall in-nothing harmed
ἢ παρεκίνησε τὸ τεῖχος· ἢ ὥσπερ βέλος ἀποστελλόμενον
or moved the wall or as (a)-dart sent
κατὰ τοῦ φοροῦντος κλίβανον, οὐδὲν ἠδίκησεν ἢ τὸν
against the(-one) wearing (a)-coat-of-mail in-nothing wronged either the
σίδηρον, ἢ τὸ σῶμα· ἀντικρούει γὰρ καὶ ἀντιπίπτει· οὕτως
iron or the body it-strikes-back for and rebounds thus
εἰ καὶ προσήγγιζέ τι μέρος κακίας τοῖς ἀποστόλοις οὐκ
if even approached some part of-vice the apostles not
ἔβλαπτεν αὐτούς, ἐπειδὴ ἦσαν ἐνδεδυμένοι τὴν τελείαν
it-harmed them since they-were clothed-in the perfect
δύναμιν τοῦ Χριστοῦ καὶ οὗτοι δὲ αὐτοὶ τέλειοι ὄντες,
power — of-Christ and these too themselves perfect being
εἶχον τὴν ἐλευθερίαν τοῦ ἀπεργάσασθαι τὰς δικαιοσύνας.
had the freedom of-the to-work the righteous-deeds
Ἐπειδὴ οὖν τινες λέγουσιν, ὅτι μετὰ τὴν χάριν ἀμεριμνία 8
since then some say that after the grace freedom-from-care
ἐστὶ τῆς ψυχῆς, ὁ Θεὸς καὶ ἐν τοῖς τελείοις ἐπιζητεῖ τὸ
there-is of-the soul — God also in the perfect seeks the
θέλημα τῆς ψυχῆς εἰς διακονίαν τοῦ Πνεύματος, ὅπως
will of-the soul for (the)-service of-the Spirit so-that

συμφωνήσωσι. Λέγει γὰρ ὁ Ἀπόστολος, Τὸ πνεῦμα μὴ
they-may-agree says for the Apostle the spirit not
σβέννυτε. Τινὲς μὲν οὖν ἐν αὐτοῖς οὐκ ἤθελον ἐπιβαρεῖς
quench some indeed then among them not wished burdensome
ἄλλοις γίνεσθαι, τινὲς δὲ ἑαυτοῖς ἐστοίχουν· ἄλλοι δὲ
to-others to-become some but by-themselves walked-in-line others and
λαμβάνοντες παρὰ κοσμικῶν διεδίδοσαν τοῖς πτωχοῖς·
receiving from worldlings distributed(-it) to-the poor
τοῦτο δὲ ἀξιώτερόν ἐστιν. Οἱ μὲν γὰρ ἔχοντες τὴν
this and more-worthy is the(-ones) indeed for having the
χάριν, τὸ ἑαυτῶν μόνον μεριμνῶσιν· ἄλλοι δέ, καὶ ἑτέρας
grace the of-themselves only care-for others and also other
ψυχὰς ὠφελῆσαι σπουδάζουσιν· οὗτοι πολλῷ ἐκείνων
souls to-benefit are-eager these much those
ὑπερέχουσιν. Ἄλλοι δὲ τὴν χάριν ἔχοντες ὑπὲρ τοῦ
surpass others and the grace having for the
ὀνόματος τοῦ Θεοῦ τὰ σώματα αὐτῶν παραδιδόασιν εἰς
name — of-God the bodies their hand-over to
ὕβρεις καὶ πάθη, πάλιν οὗτοι ἐκείνων ἀνώτεροί εἰσι. Τινὲς
insults and sufferings again these those higher are some
ἀρετὴν μετιόντες θέλουσι κομπάζειν καὶ τιμᾶσθαι ὑπὸ
virtue pursuing wish to-boast and to-be-honored by
τῶν ἀνθρώπων, λέγοντες Χριστιανοὶ εἶναι, καὶ μετέχειν
the men saying Christians to-be and to-partake-of
Πνεύματος ἁγίου· ἄλλοι δὲ κρύπτειν ἑαυτοὺς καὶ ἀπὸ
Spirit holy others but to-hide themselves also from
συντυχίας ἀνθρώπων σπουδάζουσιν· οὗτοι πολλῷ ἐκείνων
meeting of-men are-eager these much those
ὑπερέχουσιν. Ὁρᾷς, πῶς καὶ ἐν αὐτῇ τῇ τελειότητι
surpass you-see how even in the-very the perfection

εὑρίσκεται εὔνοια πρὸς τὸν Θεὸν ἀπὸ φυσικοῦ θελήματος
is-found goodwill toward — God from natural will
ἐπιτελουμένη, ἀνωτέρα καὶ πλεονάζουσα;
accomplished higher and abounding
Ὥσπερ εἴ τις πενιχρὰ ἐνδύματα περιβεβλημένος ἐν 9
as if someone poor garments wrapped-in in
ὁράματι ἑαυτὸν ἴδῃ πλούσιον, ἀναστὰς δὲ ἐξ ὕπνου πάλιν
(a)-vision himself see rich having-risen but from sleep again
ἴδῃ ἑαυτὸν πένητα καὶ γυμνόν· οὕτως καὶ οἱ λόγον
see himself poor and naked thus also the(-ones) (a)-word
πνευματικὸν λαλοῦντες τῇ ἀκολουθίᾳ δοκοῦσι λαλεῖν· μὴ
spiritual speaking in-the sequence seem to-speak not
ἔχοντες δὲ τὸ ἔργον τῶν λόγων ἐν γεύσει τινὶ καὶ δυνάμει,
having but the work of-the words in taste some and power
καὶ πληροφορίᾳ, ἐν τῷ νῷ κεκυρωμένον ἐν φαντασίᾳ
and full-assurance in the mind ratified in fantasy
τινὶ στήκουσιν. Ἢ ὥσπερ γυνὴ ἔχουσα ὁλοσήρικα,
some they-stand or as (a)-woman having all-silk(-robes)
καὶ μαργαρίτας περιβεβλημένη, εἰς πορνεῖον προέστηκεν,
and pearls wrapped-in at (a)-brothel stands-forth
οὕτως καὶ ἐπὶ τῶν τοιούτων ἡ καρδία αὐτῶν
thus also in-the-case-of the such(-men) the heart their
πορνεῖόν ἐστιν ἀκαθάρτων πνευμάτων, καὶ λαλεῖν θέλουσι
(a)-brothel is of-unclean spirits and to-speak they-wish
περὶ δικαιοσύνης, μὴ παρακύψαντες εἰς τὰ πράγματα.
about righteousness not having-looked into the matters
Ὥσπερ γὰρ οὐκ ἔστι δυνατὸν ἰχθὺν ἄνευ ὕδατος ζῆσαι, 10
as for not it-is possible (for)-(a)-fish without water to-live
ἢ ἄνευ ποδῶν περιπατῆσαί τινα, ἢ ἄνευ ὀφθαλμῶν
or without feet to-walk (for)-anyone or without eyes
ἰδεῖν φῶς, ἢ ἄνευ γλώσσης λαλεῖν, ἢ ἄνευ ὤτων ἀκούειν·
to-see light or without tongue to-speak or without ears to-hear

οὕτως ἄνευ τοῦ Κυρίου Ἰησοῦ, καὶ τῆς ἐνεργείας τῆς
thus without the Lord Jesus and the working of-the
θείας δυνάμεως, οὐκ ἔστι γινώσκειν μυστήρια καὶ
divine power not it-is-(possible) to-know mysteries and
σοφίαν Θεοῦ, ἢ εἶναί τινα πλούσιον καὶ Χριστιανόν. Οὗτοι
wisdom of-God or to-be someone rich and (a)-Christian these
γάρ εἰσιν ἀληθῶς σοφοί, καὶ πολεμισταί, καὶ ἀνδρεῖοι,
for are truly wise and warriors and brave
καὶ φιλόσοφοι Θεοῦ, οἱ ὁδηγούμενοι καὶ ποιμαινόμενοι
and philosophers of-God the(-ones) guided and shepherded
κατὰ τὸν ἔσω ἄνθρωπον ὑπὸ τῆς θεϊκῆς δυνάμεως.
according-to the inner man by the divine power
Οἱ γὰρ φιλόσοφοι τῶν Ἑλλήνων, λόγους μανθάνουσι·
the for philosophers of-the Greeks words learn
καὶ ἄλλοι εἰσὶν ἰδιῶται τῷ λόγῳ, εὐφραινόμενοι καὶ
and others are ignorant in-the word being-gladdened and
ἀγαλλιῶντες ἐπὶ τῇ τοῦ Θεοῦ χάριτι, ἄνδρες θεοσεβεῖς.
exulting at the — of-God grace men God-fearing
Διακρίνωμεν νῦν ποῖοί εἰσι βελτίονες. Ἐν ἔργῳ, φησί,
let-us-discern now which are better in deed he-says
καὶ δυνάμει ἐστὶν ἡ βασιλεία τοῦ Θεοῦ, οὐκ ἐν λόγῳ.
and power is the kingdom — of-God not in word

11 Τὸ οὖν εἰπεῖν τινα, ὅτι ὁ ἄρτος οὗτος ἀπὸ σίτου
the then to-say someone that the bread this from wheat
γεγένηται, εὔκολόν ἐστι· πῶς δὲ λεπτῶς κατασκευάζεται,
has-been-made easy is how but finely is-prepared
καὶ πέττεται ἄρτος, χρὴ εἰπεῖν. Τὸ οὖν λαλῆσαι περὶ
and is-baked (the)-bread (it)-is-needful to-say the then to-speak about
ἀπαθείας καὶ τελειότητος, ὀλίγων ἐστί. Τὸ γὰρ Εὐαγγέλιον
dispassion and perfection of-few is the for Gospel
ἐν συντόμῳ ἀπεφήνατο, Μὴ ὀργισθῇς, μὴ ἐπιθυμήσῃς· ἐάν
in brief declared not be-angry not lust if

τίς σε ῥαπίσῃ εἰς τὴν δεξιάν σου σιαγόνα, παράθες
someone you strike on the right your cheek offer
καὶ τὴν ἄλλην· ἐάν τις κρίνῃ ἆραί σου τὸ
also the other if someone would-go-to-law to-take your the
ἱμάτιον, δὸς αὐτῷ καὶ τὸν χιτῶνα. Ὁ δὲ Ἀπόστολος
cloak give to-him also the tunic the but Apostle
ἐπακολουθῶν, πῶς χρὴ κατὰ μικρὸν τὸ ἔργον τῆς
following-up how (it)-is-needful by little the work of-the
καθάρσεως μετὰ ὑπομονῆς καὶ μακροθυμίας γίνεσθαι, διὰ
cleansing with patience and long-suffering to-be-done through
πολλῶν διδάσκει, πρῶτον γαλακτοτροφῶν ὡς νηπίους,
many(-things) teaches first nursing-with-milk as infants
εἶτα φέρων εἰς αὔξησιν καὶ τελειότητα. Εἶπε γὰρ
then bringing(-them) to growth and perfection said for
τὸ Εὐαγγέλιον γενέσθαι ἀπὸ ἐρέας στιχάριον· ὁ δὲ
the Gospel (that)-to-become from wool (a)-garment the but
Ἀπόστολος ἐμήνυσε τὴν λεπτότητα, πῶς κατασκευάζεται.
Apostle disclosed the fineness how it-is-prepared
Οἱ οὖν λόγους πνευματικοὺς λαλοῦντες ἄνευ τῆς 12
the(-ones) then words spiritual speaking without the
γεύσεως, τοιούτῳ τινὶ ἐοίκασιν, ὥσπερ ἵνα τις
taste to-such (a)-one are-like as if someone
ἐπιβαλόντος καύσωνος διοδεύηται πεδίῳ ἐρήμῳ, καὶ
having-come-upon(-him) (a)-heat-wave travel (a)-plain desert and
ὢν ἔκδιψος διαγράφῃ πηγὴν ῥέουσαν ὕδωρ, σκιογραφῶν
being thirsty draw (a)-spring flowing water sketching
ἑαυτὸν πίνοντα, ὁπότε τὰ χείλη αὐτοῦ κατεξήρανται, καὶ
himself drinking when the lips his are-parched and
ἡ γλῶσσα, ἐκ τῆς καταλαβούσης δίψης· ἢ ἵνα τις
the tongue from the having-seized(-him) thirst or if someone
λαλήσῃ περὶ μέλιτος, ὅτι γλυκύ ἐστι, μὴ γευσάμενος δέ,
speak about honey that sweet it-is not having-tasted(-it) but

οὐκ οἶδε τὴν δύναμιν τῆς γλυκύτητος· οὕτως καὶ οἱ
not he-knows the power of-the sweetness thus also the(-ones)
λόγον λαλοῦντες περὶ τελειότητος, καὶ ἀγαλλιασμοῦ, ἤτοι
(a)-word speaking about perfection and exultation or
ἀπαθείας, μὴ ἔχοντες ἐνέργειαν καὶ πληροφορίαν, τὰ
dispassion not having working and full-assurance the
πράγματα οὐχ ὡς λαλοῦσιν, οὕτως εἰσὶν ἅπαντα. Ὅταν γὰρ
matters not as they-speak thus are all when for
ὁ τοιοῦτος καταξιωθῇ ποτε μερικῶς ἐν ἔργῳ εὑρεθῆναι,
the such(-man) is-deemed-worthy ever partially in deed to-be-found
διακρίνει καθ' ἑαυτόν, ὅτι οὐ καθὼς ὑπελάμβανον οὕτως
he-discerns by himself that not as I-supposed thus
εὗρον· ἄλλως γὰρ ἐλάλουν, καὶ ἄλλως τὸ πνεῦμα ἐργάζεται.
I-found otherwise for I-was-speaking and otherwise the spirit works
13 Ὁ γὰρ Χριστιανισμὸς βρῶσίς ἐστι καὶ πόσις· καὶ ὅσον
the for Christianity food is and drink and as-much-as
τις ἐσθίει ἀπ' αὐτοῦ, ἐκ τῆς ἡδύτητος ἐπιπλεῖον
someone eats from it from the sweetness the-more
ἐρεθίζεται ὁ νοῦς ἀκατάσχετος καὶ ἀκόρεστος ὑπάρχων,
is-provoked the mind irrepressible and insatiable being
καὶ ἀπλήστως ἐπιζητῶν καὶ ἐσθίων· Ἢ ὥσπερ ἐὰν
and greedily seeking and eating or as if
ᾖ τις διψῶν, καὶ ἐπιδοθῇ αὐτῷ πόμα γλυκύ, εἶτα
there-be someone thirsting and be-given to-him (a)-drink sweet then
ἀρξάμενος τῆς γεύσεως σφοδροτέρως ἐγγίζει τῷ ποτῷ,
having-begun the taste more-vehemently he-draws-near to-the drink
μειζόνως ἐκκαιόμενος, καὶ σχεδὸν ἄπαυστός ἐστιν ἡ γεῦσις
more-greatly being-inflamed and almost unceasing is the taste
τοῦ Πνεύματος, ὡς τοιούτῳ τινὶ δικαίως ἀπεικάζεσθαι·
of-the Spirit as to-such something justly to-be-likened
καὶ ταῦτα οὐ λόγοι ψιλοί. Ἐργασία γάρ ἐστι τοῦ ἁγίου
and these not (are)-words bare (a)-working for is of-the holy

Πνεύματος ἐν μυστηρίῳ διακονοῦσα τῷ νῷ. Νομίζουσι δέ
Spirit in mystery ministering to-the mind suppose and
τινες ὅτι ἀπεχόμενοι γυναικός, καὶ πάντων τῶν φαινομένων,
some that abstaining from-woman and all the visible(-things)
ἤδη ἅγιοί εἰσιν· ἀλλ᾽ οὐχ οὕτως ἐστίν. Ἔστι γὰρ ἡ κακία
already holy they-are but not thus is(-it) there-is for the vice
ἐν τῷ νῷ, καὶ ἐν τῇ καρδίᾳ ζῇ καὶ ἐπαίρεται· οὗτος
in the mind and in the heart it-lives and is-exalted this(-man)
δέ ἐστιν ἅγιος, ὁ καθαρθεὶς καὶ ἁγιασθεὶς κατὰ
but is holy the(-one) cleansed and sanctified according-to
τὸν ἔσω ἄνθρωπον. Ὅπου γὰρ ἡ ἀλήθεια ἀνακύπτει, ἐκεῖ
the inner man where for the truth looks-up there
μάχεται ἡ πλάνη, σπουδάζουσα καλύψαι καὶ θολῶσαι.
fights the error striving to-cover and to-muddy(-it)
Ὅτε οἱ Ἰουδαῖοι ἐκράτουν τὴν ἱερωσύνην, καὶ ἐξ αὐτοῦ 14
when the Jews held the priesthood also from the-very
τοῦ ἔθνους ἐδιώκοντο καὶ ἐθλίβοντο, ἐπειδὴ εἱστήκεισαν ἐν
the nation were-persecuted and were-afflicted since stood in
τῇ ἀληθείᾳ, Ἐλεάζαρος καὶ οἱ Μακαβαῖοι. Νῦν δὲ ἐπειδὴ
the truth Eleazar and the Maccabees now but since
ἀπὸ τοῦ σταυροῦ καὶ τοῦ καταπετάσματος ἀνεχώρησεν
from the cross and the veil withdrew
ἐξ αὐτῶν τὸ Πνεῦμα, λοιπὸν ὧδε ἀπεκαλύφθη καὶ ἐνεργεῖ
from them the Spirit henceforth here was-revealed and works
ἡ ἀλήθεια. Πάλιν οὖν ἐξ αὐτοῦ τοῦ ἔθνους διώκονται.
the truth again then from the-very the nation they-are-persecuted
Ἐξ αὐτοῦ δὲ τοῦ ἔθνους ἐδιώκοντο καὶ ἐθλίβοντο, ἵνα
from the-very and the nation they-were-persecuted and afflicted that
γένωνται μάρτυρες οἱ φιλαλήθεις. Πῶς γὰρ φανήσεται ἡ
may-become martyrs the truth-lovers how for will-appear the
ἀλήθεια, εἰ μὴ ἔχει τοὺς ὑπεναντίους ψευδεῖς ὄντας καὶ
truth if not it-has the opponents false being and

κατὰ ἀληθείας τρέχοντας; Εἰσὶ δὲ καὶ ἐν τοῖς ἀδελφοῖς
against truth running there-are and also among the brothers
βαστάζοντες πάθη καὶ θλίψεις· πολλῆς δὲ χρῄζουσιν
(some)-bearing sufferings and afflictions much but they-need
ἀσφαλείας, ἵνα μὴ πέσωσιν. Εἷς γάρ τις τῶν ἀδελφῶν
of-security that not they-fall one for certain of-the brothers
συνευχόμενός τινι, ἠχμαλωτίσθη ὑπὸ θείας δυνάμεως,
praying-with someone was-taken-captive by divine power
καὶ ἁρπαχθεὶς εἶδε τὴν ἄνω πόλιν Ἰερουσαλήμ, καὶ
and having-been-snatched-up he-saw the above city Jerusalem and
εἰκόνας φωτεινὰς καὶ φῶς ἄπειρον· καὶ ἤκουσε φωνῆς
images luminous and light infinite and heard (a)-voice
λεγούσης, οὗτός ἐστιν ὁ τόπος τῆς καταπαύσεως τῶν
saying this is the place of-the rest of-the
δικαίων· καὶ μετὰ μικρὸν φυσιωθείς, καὶ νομίσας
righteous and after (a)-little having-been-puffed-up and having-supposed
περὶ ἑαυτοῦ ἑωρακέναι, μετὰ τοῦτο εὑρέθη ἐμπεσὼν εἰς
about himself to-have-seen after this he-was-found having-fallen into
τὰ ἄδυτα καὶ βαθύτατα τῆς ἁμαρτίας, εἰς μυρία κακά
the inmost and deepest(-places) of-the sin into countless evils
15 Εἰ οὖν ὁ ἐσώτερος καὶ ὑψηλὸς ἔπεσε, πῶς δύναται λέγειν
if then the inner and lofty(-man) fell how can say
ὁ τυχών, ὅτι Νηστεύων καὶ ξενητεύων καὶ διασκορπίζων
the chance(-man) that fasting and living-abroad and scattering
τὰ ὑπάρχοντα ἤδη ἅγιός εἰμι; οὐ γὰρ ἡ ἀποχὴ τῶν
the possessions already holy I-am not for the abstention from-the
κακῶν αὕτη ἐστὶν ἡ τελείωσις, ἀλλ' εἰ εἰσῆλθες εἰς τὸν
evils this is the perfection but if you-entered into the
νοῦν τὸν ἠφανισμένον, καὶ ἀπέκτεινας τὸν ὄφιν τὸν
mind the obliterated and killed the serpent the(-one)
κατώτερον τοῦ νοῦ, καὶ βαθύτερον τῶν λογισμῶν, εἰς τὰ
lower-than the mind and deeper than-the thoughts in the

λεγόμενα ταμιεῖα καὶ ἀποθήκας τῆς ψυχῆς φονεύοντά σε
so-called storerooms and storehouses of-the soul murdering you
καὶ φωλεύοντα· ἄβυσσος γάρ ἐστιν ἡ καρδία· εἰ τοίνυν
and lurking (an)-abyss for is the heart if therefore
ἐκεῖνον ἐφόνευσας, καὶ πᾶσαν τὴν ἐν σοὶ ἀκαθαρσίαν
that you-murdered and all the in you uncleanness
ἐξέβαλες· ὅλοι γὰρ οἱ φιλόσοφοι καὶ ὁ νόμος καὶ οἱ
cast-out all for the philosophers and the law and the
ἀπόστολοι, καὶ ἡ τοῦ Σωτῆρος ἔλευσις περὶ καθαρότητος
apostles and the of-the Savior coming about purity
ποιοῦνται. Πᾶς γὰρ ἀνθρώπων εἴτε Ἰουδαίων, εἴτε
are-concerned every for of-men whether of-Jews or
Ἑλλήνων, ἀγαπᾷ τὴν καθαρότητα, καὶ οὐ δύνανται
of-Greeks loves the purity and not they-can
καθαρεύειν. Χρὴ οὖν ἐπιζητῆσαι, πῶς καὶ διὰ τίνων
to-be-pure (it)-is-needful then to-seek how and through what
δύναται τὸ καθαρὸν τῆς καρδίας γενέσθαι. Οὐδαμῶς
can the purity of-the heart come-about nowise
ἑτέρωθεν, εἰ μὴ διὰ τοῦ ὑπὲρ ἡμῶν σταυρωθέντος·
from-elsewhere except — through the(-one) for us crucified
αὐτὸς γάρ ἐστιν ἡ ὁδός, ἡ ζωή, ἡ ἀλήθεια, ἡ θύρα,
he for is the way the life the truth the door
ὁ μαργαρίτης, ὁ ζῶν καὶ ὁ οὐράνιος ἄρτος. Καὶ οὐκ
the pearl the living and the heavenly bread and not
ἐγχωρεῖ τινα ἄνευ ἐκείνης τῆς ἀληθείας, ἀλήθειαν
it-is-allowed for-anyone without that the truth (the)-truth
γνῶναι, ἢ σωθῆναι. Ὥσπερ οὖν εἰς τὸν ἔξω ἄνθρωπον
to-know or to-be-saved as then in the outer man
καὶ εἰς τὰ φαινόμενα πράγματα, ἀπετάξω πᾶσι, καὶ
and in the visible matters you-renounced all(-things) and
διέδωκας τὴν ὕπαρξίν σου· οὕτω καὶ ἐν τῇ σοφίᾳ τῇ
distributed the substance your thus also in the wisdom the

κοσμικῇ, εἰ γνῶσιν ἔχεις καὶ λόγων ἰσχύν, ἀπορῥίψασθαι
worldly if knowledge you-have and of-words strength to-cast-away
πάντα ὀφείλεις, καὶ μηδὲν ἡγήσασθαι, ἵν' οὕτω δυνηθῇς
all(-things) you-ought and nothing to-consider that thus you-may-be-able
ἐπὶ τῇ μωρίᾳ τοῦ κηρύγματος οἰκοδομηθῆναι, ὅπερ
on the foolishness of-the preaching to-be-built which
κήρυγμά ἐστιν ἡ ἀληθὴς σοφία, οὐκ ἔχουσα κόμπον
preaching is the true wisdom not having boast
λόγων, ἀλλὰ δύναμιν δι' ἁγίου σταυροῦ ἐνεργουμένην.
of-words but power through holy cross working
Δόξα τῇ ὁμοουσίῳ Τριάδι εἰς τοὺς αἰῶνας. Ἀμήν.
glory to-the consubstantial Trinity for the ages amen
